quam imperiũ adepti ſunt, ij ſemper admonitore carent: pro/
pterea quod & mortalium pleriq; non adeunt ad illos, & qui
cum illis habent conſuetudinem ad gratiam confabulantur.
Siquidem nacti & opum plurimarum poſſeſſionem, & re/
rum maximarum adminiſtrationem, dum his occaſionibus
haud recte utuntur, effecerunt, ut complures ambigant utra
uita magis ſit eligenda, eorum ne qui priuatam quidem, ſed
Vtra uita placidam & humanam agunt uitam, an regum. Nam quoties
felicior. ad honores, ad opes, ad potentiam illorum reſpexerint, dijs
Incommo/ pares exiſtimant, quicunque regno potiuntur. Rurſus ubi ſe/
da regni. cum perpenderint metus ac pericula, ſingulisque conſide/
ratis deprehenderint alios extinctos ab ijs, à quibus mini/
me conueniebat, alios in familiariſſimos maximeque dome/
ſticos peccare compulſos, nonnullos eſſe quibus horum
utrunque euenerit, tum contra ſatius eſſe iudicant, quodcun/
que uitæ genus amplecti, quàm cum eiuſmodi malis uel uni/
Vnde regno/ uerſæ Aſiæ imperium tenere. Porrò commutationes huiuſ/
rum commu/ modi, fortunæ rerumque tumultus hinc proficiſcitur, quod
tationes. uti ſacerdotium, ita regnum quoque cuiuſlibet hominis eſſe
credunt, cum res ſit una rerum omnium humanarum ma/
Officium xima, quæque ſummam deſideret prudentiam. Itaque con/
principis. ſulere quibus rationibus poſſis in ſingulis negocijs recte ad/
miniſtrandis officio fungi, ut & bona conſerues, & mala eui/
tes, eorum munus eſt, qui tecum perpetuam habent con/
ſuetudinem. In genere uero, & quæ uitæ ſtudia ſpectare
conueniat, & in quibus exerceri, ipſe conabor explicare. Iam
quidem an munus, hoc cum abſolutum fuerit, argumento
ſuo reſpondeat, haud facile fuerit ſtatim initio cognoſcere,
propterea

πρὸς δὲ τούτοις τινὲς, καὶ τῶν ποιητῶν τῶν προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοίπασιν, ὥστ᾽ ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίνεσθαι. τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον. ἀλλ᾽ οὓς μᾶλλον ἔδει τῶν ἄλλων παιδεύεσθαι, ἐπειδὰν εἰς τὴν ἀρχὴν καταστῶσιν, ἀνουθέτητοι διατελοῦσιν. οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν, οἱ δὲ συνόντες πρὸς χάριν ὁμιλοῦσιν. καὶ γάρ τοι κύριοι γινόμενοι, καὶ χρημάτων πλείστων καὶ πραγμάτων μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύταις ταῖς ἀφορμαῖς, πεποιήκασιν ὥστε πολλοὺς ἀμφισβητεῖν, πότερόν ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον, τὸν τῶν ἰδιωτευόντων μὲν, ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν τυραννευόντων. ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς τὰς τιμὰς, καὶ τοὺς πλούτους, καὶ τὰς δυναστείας, ἰσοθέους ἅπαντας νομίζουσι τοὺς ἐν ταῖς μοναρχίαις ὄντας. ἐπειδὰν δὲ ἐνθυμηθῶσι τοὺς φόβους καὶ τοὺς κινδύνους, καὶ διεξιόντες εὕρωσι τοὺς μὲν ὑφ᾽ ὧν ἥκιστα ἐχρῆν διεφθαρμένους, τοὺς δὲ εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους. τοῖς δὲ ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁποσοῦν ζῆν ἡγοῦνται λυσιτελεῖν μᾶλλον, ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς ἀσίας βασιλεύειν. ταύτης δὲ τῆς ἀνωμαλίας καὶ τῆς ταραχῆς αἴτιόν ἐστιν. ὅτι τὴν βασιλείαν ὥσπερ ἱερωσύνην, παντὸς ἀνδρὸς εἶναι νομίζουσιν. ὃ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι, καὶ πλείστης προνοίας δεόμενον. καθ᾽ ἑκάστην μὲν οὖν πρᾶξιν, ἐξ ὧν ἄν τις μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττειν, τὰς δὲ συμφορὰς διαφεύγειν, τῶν ἀεὶ παρόντων ἔργον ἐστὶ συμβουλεύειν. καθόλου δὲ τῶν ἐπιτηδευμάτων ὧν χρὴ στοχάζεσθαι, καὶ περὶ ἃ δεῖ διατρίβειν ἐγὼ πειράσομαι διελθεῖν. εἰ μὲν οὖν ἔσται τὸ δῶρον ἐξεργασθὲν ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν.

propterea quod permulta tum carmine, tum proſa oratione conſcripta, donec adhuc in cogitatione & animo componentium uerſarentur, magnam ſui præbuerunt expectationem. Cæterum eadem abſoluta iam & alijs oſtenſa, opinionem multo ſpe inferiorem conſequuta ſunt. Quanquam hic ſanè conatus laudi dandus fuerit, ſi quæ ab alijs omiſſa ſunt peruestigemus, & imperij gerendi rationem præſcribamus. Siquidem hi qui priuatos inſtituunt, ipſis tantum proſunt. Verum ſi quis eos qui multitudini imperant, ad uirtutem adhortetur, hic nimirum utriſque profuerit, tum ijs qui gerunt imperium, tum ijs qui parent imperio, dum pariter & his regnum ſtabilius, & illis gubernationem mitiorem reddit. Primum munus. Etenim ſi caput & totius negocij uim recte conſtituerimus, huc reſpicientes melius de cæteris quoque partibus diſſeremus. Iam illud nemo inficias ibit opinor, regum eſſe parteis, ut reipublicæ malis finem imponant, & felicitatem tueantur, & ex puſilla magnam reddant: quandoquidem & cætera, quæ in quotidianis incidunt negocijs, horum gratia ſunt agenda. Quin illud quoque in confeſſo eſt, quod qui hæc præſtare ualeant, deque hiſce rebus ſint conſulturi, non oporteat eſſe ſocordes, ſed huc eniti, ut cæteris antecellant prudentia. Demonſtratum eſt enim eiuſmodi illos habituros imperium, cuiuſmodi rationibus ipſi præpararint animum ſuum. Proinde nullis athletis ſic conuenit exercere corpus, ut regibus animum. Siquidem quæ uel in omnibus ludis publicis proponuntur præmia, nulla parte conferri poſſunt cum his, quæ uobis quotidie ſunt propoſita.

Principū institutio utiliſſima.

Præcipuum principis munus, quod.

Principis antecellere ſapientia.

Hæc itaq; reputantem adniti decet, ut quantum cæteros antecellas honoribus tãtundem & uirtutibus eos præcedas. Neq; uero putes in reliquis quidem rebus curã ac diligentiã conducere, id autem ut meliores reddamur, nihil habere momenti.

Exercitatio honeſti plurimum ualet.

Nec tantæ

πολλὰ γὰρ καὶ τῶν ἐμμέτρων ποιημάτων καὶ τῶν καταλογάδην συγγραμμάτων, ἔτι μὲν ἐν ταῖς διανοίαις ὄντα τῶν συντιθέντων, μεγάλας τὰς προσδοκίας παρέσχεν, ἐπιτελεσθέντα δὲ, καὶ τοῖς ἄλλοις ὑποδειχθέντα πολὺ καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν. οὐ μὴν ἀλλὰ καὶ τό γε ἐγχείρημα καλῶς ἔχει, τὸ ζητεῖν τὰ παραλελειμμένα, καὶ νομοθετεῖν ταῖς μοναρχίαις. οἱ μὲν γὰρ τοὺς ἰδιώτας παιδεύοντες, ἐκείνους μόνους ὠφελοῦσιν. εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ᾽ ἀρετὴν προτρέψειεν ἀμφοτέρους ἂν ὠφελήσειε, καὶ τοὺς τὰς δυναστείας ἔχοντας, καὶ τοὺς ὑπ᾽ αὐτοῖς ὄντας. τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πολιτείας πραοτέρας ποιήσειεν. πρῶτον μὲν οὖν σκεπτέον τί τῶν βασιλευόντων ἔργον ἐστίν. ἐὰν γὰρ τὸ κεφάλαιον, καὶ τὴν δύναμιν ὅλου τοῦ πράγματος καλῶς περιλάβωμεν, ἐνταῦθα ἀποβλέποντες, ἄμεινον καὶ περὶ τῶν ἄλλων μερῶν ἐροῦμεν. οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι προσήκειν αὐτοῖς, πόλιν τε δυστυχοῦσαν παῦσαι, καὶ καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι, τὰ γὰρ ἄλλα τὰ καθ᾽ ἑκάστην ἡμέραν συμπίπτοντα, τούτων ἕνεκα πρακτέον ἐστί. καὶ μὴν ἐκεῖνό γε φανερὸν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους, καὶ περὶ τούτων βουλευσομένους, μὴ ῥαθυμεῖν, ἀλλὰ σκοπεῖν, ὅπως φρονιμώτερον διακείσονται τῶν ἄλλων. δέδεικται γὰρ ὅτι τοιαύτας ἕξουσι τὰς βασιλείας, οἵασπερ ἂν τὰς αὑτῶν γνώμας παρασκευάσωσιν. ὥστε οὐδενὶ τῶν ἀθλητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν. ἅπασαι γὰρ αἱ πανηγύρεις, οὐθὲν μέρος τιθέασι τούτων τῶν ἄθλων, ὑπὲρ ὧν ὑμεῖς καθ᾽ ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν. ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσον περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς καὶ φρονιμωτέρους γίνεσθαι μηδεμίαν ἔχειν δύναμιν.

Nec tantæ infelicitatis condemnes mortaleis,ut artes excogi-
tauerimus,quibus ferarum ingenium curemus ,mitiuſque ac
melius reddamus ,nobiſipſis ad uirtutem parandam nihil pro
deſſe queamus: contra magis ita ſentiens , inſtitutionem ſi-
mul & curam animum adiutare poſſe. Et eorum qui tecum
uiuunt prudentiſſimis temet adiunge , & alios quoſcunque
uales accerſe. Nec ullius poëtæ celebris aut ſophiſtæ , puta
te rudem eſſe oportere , ſed illorum quidem auſcultatorem
te præbe,horum uero diſcipulum. Ita temetipſum compa-
res,ut & inferiorum ſis iudex ,& ſuperiorum æmulus. Nam
id genus exercitamentis celerrime talis euades,quales ſtatui-
mus eſſe debere eos ,qui recte geſturi ſint imperium , quiq;
rempublicam ,ſicut oportet ,ſint gubernaturi. In primis au-
tem ipſe temetipſum in conſilium adhibeto , ſi quidem ab-
ſurdum exiſtimas deteriores imperare præſtantioribus , &
ſtultiores præire prudentioribus. Nam quo uehementius
cæterorum amentiam contempſeris, hoc diligentius tuam
ipſius mentem excoles. Ergo hinc quidem incipiant opor-
tet, qui munus aliquod cum laude geſturi ſint. Super hæc
autem & ciuium & ciuitatis amantem oportet eſſe princi-
pem. Neque enim equis , neque canibus , neque uiris , ne-
que ulli denique rei quiſquam recte poſſit imperare ,niſi gau-
deat ac delectetur ijs, quorum curam agere debet. Cu-
ræ ſit tibi multitudo , & illud ſuper omnia ſpectes , ut ita im-
peres , ut gratus & charus ſis tuis , haud ignorans & inter
oligarchias , id eſt , reſpublicas , in quibus penes paucos eſt
rerum poteſtas , ut inter alias reſpublicas , eas maxime diu-
turnas eſſe ,in quibus maxime habetur ratio multitudinis.
Porrò hanc ita recte moderaberis,ſi nec ſines,ut quis faciat in-
iuriam alicui,nec patieris iniuria affici quenquam. Verum il-
lud agas,ut optimis quidem honores tribuantur & præmia,
cæteri

Princeps optimis ſit familiariſſimus.

Princeps per ſe ſapiens.

Quæ res ſtabile faciāt imperium.

μὴ δὲ καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν, αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν, καὶ πλείονος ἀξίας ποιοῦμεν, ἡμᾶς δὲ αὐτοὺς οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν. ἀλλ' ὡς καὶ τῆς παιδεύσεως, καὶ τῆς ἐπιμελείας, δυναμένης τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην, καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε. καὶ τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου. καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων μήτε τῶν σοφιστῶν μηδενὸς οἴου δεῖν ἀπείρως ἔχειν, ἀλλὰ τῶν μὲν, ἀκροατὴς γίνου, τῶν δὲ μαθητής. καὶ παρασκεύαζε σαυτὸν, τῶν μὲν ἐλασσόνων κριτὴν, τῶν δὲ μειζόνων ἀνταγωνιστήν. διὰ γὰρ τούτων τῶν γυμνασίων, τάχιστ' ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν ὀρθῶς βασιλεύσοντα, καὶ τὴν πόλιν ὡς χρὴ διοικήσοντα. μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν. καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν. ὅσῳ γὰρ ἂν ἐῤῥωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν σαυτοῦ διάνοιαν ἀσκήσεις. ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι ποιήσειν τῶν δεόντων, πρὸς δὲ τούτοις, φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν. οὔτε γὰρ ἵππων, οὔτε κυνῶν, οὔτε ἀνδρῶν, οὔτε ἄλλου πράγματος οὐδενὸς οἷόν τε καλῶς ἄρχειν, ἢν μή τις χαίρῃ τούτοις, ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν. γιγνώσκων ὅτι καὶ τῶν ὀλιγαρχιῶν καὶ τῶν ἄλλων πολιτειῶν, αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύωσι. καλῶς δὲ δημαγωγήσεις ἐὰν μήτε τὸν ὄχλον ὑβρίζειν ἐᾷς, μήτε ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκοπῇς, ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν,

οἱ δ' ἄλλοι

cæteri uero nulla in re per iniuriam lædantur. nam hæc prima maximáque recte adminiſtrandæ reipublicæ ſunt elementa.

De corrigendis & adminiſtrandis legibus.

Si quæ leges erunt aut conſuetudines ciuitatis parum rectæ, eas tolle ac muta. Atque in primis da operam, ut eas quàm optimas excogites. Quod minus poteris, quæ apud alios bene conſtituta ſunt, imitare. In uniuerſum leges conquire, quæ & iuſtæ ſint, & reipublicæ conducibiles, & inter ſe conſentientes. Deinde quæ & lites quàm pauciſſimas pariant, & exortas quàm poteſt ocyſſime finiant. Siquidem has res omneis habeant oportet, bene conditæ leges.

De iudicijs.

Fac ut earum obſeruatio lucro ſit ciuibus, forenſis autem tractatio damnoſa, quo nimirum hanc fugiant, ad illam ſint promptiores. In controuerſijs ciuium inter ſe diſſidentium, ita iudicis officio fungere, ut nec ad gratiam alicuius, nec ſecum pugnantes feras ſententias, uerum ſemper de cauſis iiſdem, eadem item pronuncies. Nam & decet pariter & expedit, ut leges bene conditas, ita regum quoque de iure ſententiam certam & immutabilem eſſe. Ciuitatem tanquam paternam domum gubernato, in apparatu quidem ſplendidus, ac regalis, cæterum in munijs obeundis accuratus ac diligens, quo pariter & laudem conſequaris & facultates ſuppeditent.

Magnificẽtia principis.

Magnificentiam oſtentes, non in ullis hiſce ſumptibus, qui protinus euaneſcunt, ſed cum in his quæ iam ante diximus: tum in poſſeſſionum pulchritudine, & in amicos beneficentia. propterea quod huiuſmodi ſumptus, non ſolum tibi manent, uerumetiam poſteris tuis utilitatem relinquent, iis quæ inſumpſiſti potiorem.

De religione.

In his quæ ad deorum cultum pertinent ita facito, quemadmodum eſt à maioribus præſcriptum.

Chriſtiano digna ſentẽtia

Exiſtimes autem nullum ſacrificium pulchrius, nullum eſſe cultum maiorem, quàm ſi teipſum uirum optimum, iuſtiſſimumque præſtiteris. Siquidem ſperãdum eſt homines eiuſmodi citius à dijs boni quippiam impetraturos, quàm iſtos qui multas mactant uictimas.

Primos

οἱ δ' ἄλλοι μηδὲν ἀδικηθήσονται. ταῦτα γὰρ σοιχεῖα πρῶτα καὶ μέγισα χρηστῆς πολιτείας ἐστί. τῶν προσαγμάτων, καὶ τῶν ἐπιτηδευμάτων, κίνει καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα. καὶ μάλισα μὲν εὑρετὴς γίνου τῶν βελτίστων. εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις καλῶς ἔχοντα. ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους. πρὸς δὲ τούτοις, οἵτινες τὰς μὲν ἀμφισβητήσας ὡς ἐλαχίσας, τὰς δὲ διαλύσεις ὡς διόμ τι ταχίσας τοῖς πολίταις ποιήσουσι. ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις. τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, τὰς δὲ πραγματείας ἐπιζημίους, ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς προθύμως ἔχωσι. τὰς κρίσεις ποιοῦ περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν μηδὲ ἐναντίας ἀλλήλαις. ἀλλ' ἀεὶ ταὐτὰ καὶ περὶ τῶν αὐτῶν γίγνωσκε. καὶ γὰρ πρέπει καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην ἀμετακινήτως ἔχειν περὶ τῶν δικαίων, ὥσπερ τοὺς νόμους τοὺς καλῶς κειμένους. διοίκει τὴν πόλιν ὁμοίως, ὥσπερ τὸν πατρῷον οἶκον, ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα καὶ διαρκῇς. τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο ἐν μηδεμιᾷ τῶν πολιτελῶν, τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἔν τε τοῖς προειρημένοις. καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ ταῖς τῶν φίλων εὐεργεσίαις. τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τέ σοι παραμένει, καὶ τοῖς ἐπιγινομένοις πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις. τὰ περὶ τοὺς θεοὺς ποίει μὲν ὡς οἱ πρόγονοι κατέδειξαν, ἡγοῦ δὲ τοῦτο εἶναι θῦμα κάλλισον καὶ θεραπείαν μεγίσην, ἐὰν ὡς βέλτισον καὶ δικαιότατον σεαυτὸν παρέχῃς. μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους, ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας πράξειν τί παρὰ τῶν θεῶν ἀγαθόν.

Quibus maxime ſit habendus honos. Primos honores tribue coniunctiſſimis, uerißimis, amiciſſimis. Eam putato tutiſſimam corporis tui cuſtodiam, ſi & amicos habueris uirtute præditos, & ciues tibi bene uolentes, & ſi ipſe prudentia polleas. Nam hiſce potiſſimum rebus, & parare & tueri regnum poſſis. *Luxus ciuiũ coërcendus.* Priuatorum domos curato, exiſtimans & eos qui ſua profundunt de tuo dependere, & qui induſtria rem augent tuis addere facultatibus. Quicquid enim poſſident, qui ciuitatem incolunt, id proprium eſt bene fungentium principatu. *Fides in principe.* Adeo per omnem uitam appareas obſeruans & amans ueri, ut tuis dictis citius habeatur fides, quàm cæterorum iurijurando. *Erga hoſpites qualem eſſe oporteat.* Cunctis quidem hoſpitibus tutam præbeto ciuitatem, & in contractibus legum obſeruantem. Cæterum ex his qui in eam perueniunt plurimi facito, non eos qui tibi munera adducunt, ſed qui abs te cupiunt accipere. Etenim ſi hos in precio habueris, plus laudis apud cæteros conſequeris. Adimito metum ciuibus, neque uelis admodum formidabilis eſſe, ijs qui nihil peccant. Nam utcunque reddideris alios affectos *Beneuolentia erga principem.* in te, ita & tu in illos eris affectus. Ne quid omnino feceris per iracundiam, uidearis id facere, quoties ita poſtulabit tempus. Hactenus ſeuerus appareas, ut nihil te lateat eorum quæ fiunt, mitis autem, ut pœnas irroges commiſſis *Seueritas principis.* minores. Ita principis dignitatem oſtendere ſtudeas, non ſæuitia & atrociter puniendo: ſed hoc agens, ut omnes ingenio tuo ſuperentur, & te rectius quàm ipſi poſſint ſuæ ſaluti conſulere, putent. *Bellum.* Eſto bellicoſus rei militaris ſcientia, ac *Pax.* belli apparatu, pacificus autem nihil præter ius & æquũ uſurpando. Sic cum inferioribus ciuitatibus cõmercium agito, ut *Pro quibus certandum.* ſuperiores tecum agere uelles. Certa nõ de rebus quibuſlibet, ſed de his duntaxat, quæ tibi, ſi uiceris, emolumentum allaturæ. Viles & ignauos exiſtimato, nõ qui ſuo bono ſuperantur, ſed eos

τίμα ταῖς μὲν ἀρχαῖς τῶν τιμῶν τοὺς δικαιοτάτους, ταῖς δὲ ἀληθεστάταις τοὺς εὐνουστάτους. φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σαυτοῦ φρόνησιν. διὰ γὰρ τούτων καὶ κτᾶσθαι καὶ διασώζειν τὰς τυραννίδας μάλιστα ἄν τις δύναιτο. κήδου τῶν οἴκων τῶν ἰδιωτῶν, καὶ νόμιζε τοὺς δαπανωμένους ἀπὸ τῶν σῶν ἀναλίσκειν, καὶ τοὺς ἐργαζομένους τὰ σὰ πλείω ποιεῖν. ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστί. διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους, ἢ τοὺς τῶν ἄλλων ὅρκους. ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε, καὶ πρὸς τὰ συμβόλαια νόμιμον. περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων, μὴ τοὺς σοὶ δωρεὰς εἰσάγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας. τιμῶν γὰρ τοὺς τοιούτους, μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις. τοὺς φόβους ἐξαίρου τῶν πολιτῶν, καὶ μὴ βούλου περιδεὴς εἶναι τοῖς μηδὲν ἀδικοῦσιν. ὅπως γὰρ ἂν τοὺς ἄλλους πρὸς σεαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς ἐκείνους ἕξεις. ποίει μὲν μηδὲν μετ᾽ ὀργῆς. δόκει δὲ τοῖς ἄλλοις ὅταν σοὶ καιρὸς ᾖ. δεινὸς μὲν φαίνου, τῷ μηδέν σε λανθάνειν τῶν γινομένων. πρᾶος δὲ τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων. ἀρχικὸς εἶναι θέλε μὴ χαλεπότητι, μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν, ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἄμεινόν σε βουλεύεσθαι. πολεμικὸς γίνου ταῖς ἐπιστήμαις καὶ ταῖς παρασκευαῖς, εἰρηνικὸς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν. οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους ὥσπερ ἂν τὰς κρείττους πρὸς σεαυτὸν ἀξιώσειας. φιλονείκει μὴ περὶ ἁπάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί σοι μέλλει συνοίσειν. φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους,

ſed eos qui ſuo malo ſuperant. Magnanimos exiſtima, nō eos qui maiora complectuntur, quàm tueri queant, uerū, qui moderata quidem concupiſcunt, ſed quod conantur poſſunt efficere. Felices & imitandos puta, non hos qui imperium parauerunt ampliſſimum, ſed eos qui quod contigit, quàm optime geſſerunt. Exiſtima te perfectam felicitatem aſſecuturum, non ſi cunctis mortalibus cum terrore periculoq; imperes, uerum ſi teipſum talem præbueris uirum qualem oportet: atq; ita agens, ut res præſentes poſtulant, moderata concupiſcas, nec horum quicquam tibi deſit. Amicos facito, non quoſlibet id ambientes, ſed qui tua digni ſint indole: nec eos cum quibus iucundiſſime ſis uicturus, ſed quibus adiutantibus quàm optime rem publicam gubernaturus. Diligentiſſimus eſto in explorandis ijs, quos in familiaritatem allegis tuam, memor futurum, ut omnes qui tecum non habent conſuetudinem, te ſimilem arbitrentur ijs quorum uteris familiaritate. Negocijs, quæ per te non geruntur, uiros eiuſmodi præfice, tanquam omnium, quæ illi commiſerint culpa tibi ſit imputanda. Fidos exiſtima, non qui quicquid dixeris feceriſue laudant, ſed qui errantem increpant. Permitte prudentibus libere loquendi facultatem, uti ſi quid extiterit de quo ambigas, habeas cū quibus rem expendere poſſis. Qui tibi arte adulantur, diſcerne ab ijs, qui tecum beneuolentia colunt, ne potior ſit malorum quàm bonorum conditio. Auſculta quæ loquuntur, alius uiciſſim de alio, dans operam ut noris & qui ſint qui loquuntur, & de quibus loquantur. Pari pœna afficito, & qui mendacio calumniantur aliquem, & qui facinus admittunt. Tibi ipſi nō minus atq; alijs imperato: idq; maxime rege dignum eſſe ducito ſi nulli ſeruieris uoluptati, ſed cupiditatibus tuis magis q̃ ciuibus domineris. Nullam uitæ cōſuetudinem temere neq; citra delectū admittas, ſed huiuſmodi exercitijs cōſueſce delectari, è quibus tū ipſe profecturus ſis, tum alijs melior eſſe uidearis.

Vera magnanimitas. *Vera felicitas.* *Qui in amicitiam allegēdi.* *Quibus officia mādanda.* *Veri principis amici.* *Non temere credendū delationibus.* *Calumnia.* *Studia principe digna.*

Ne quid

ἀλλὰ τοὺς μετὰ βλάβης περιγινομένους. μεγαλόφρονας εἶναι νόμιζε, μὴ τοὺς μείζω περιβαλλομένους ὧν οἷοί τέ εἰσι κατασχεῖν, ἀλλὰ μετρίων μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους οἷς ἂν ἐπιχειρῶσι. ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους. καὶ νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν ἁπάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων ἄρχῃς, ἀλλ᾽ ἐὰν τοιοῦτος ὢν οἷον χρὴ καὶ πράττων ὡς ἐν τῷ παρόντι μετρίων ἐπιθυμῇς, καὶ μηδενὸς τούτων ἀπορῇς. φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας. μηδὲ μεθ᾽ ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ᾽ ὧν ἄριστα τὴν πόλιν διοικήσεις. ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς ὅτι πάντες οἱ μὴ σοὶ πλησιάζοντες ὅμοιόν σε τοῖς χρωμένοις νομιοῦσι. τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γινομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσι. πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν, ὅτι ἂν ποιῇς ἢ λέγῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς ἔχῃς τοὺς συνδοκιμάσοντας. διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ᾽ εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωρίζειν ἅμα τοὺς λέγοντας ὁποῖοι καὶ τίνες εἰσίν, καὶ περὶ ὧν ἂν λέγωσι. ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας αἷσπερ τοὺς ἐξαμαρτάνοντας. ἄρχε σεαυτοῦ μηδὲν ἧττον ἢ καὶ τῶν ἄλλων. καὶ τοῦτ᾽ ἡγοῦ βασιλικώτατον, ἐὰν μηδὲ μιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν. μηδὲ μίαν συνουσίαν εἰκῇ προσδέχου, μηδ᾽ ἀλογίστως, ἀλλ᾽ ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τε ἐπιδώσεις, καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις.

Ne quid his rebus efferri uidearis quas & mali præſtare poſſint,ſed uirtutis nomine tibi placeas,in qua nihil tibi commune ſit cum improbis.

Veri honores

Honores ueriſſimos puta ,non qui metu deferuntur in propatulo , ſed quoties ipſi apud ſeſe animum tuum magis quàm fortunam ſuſpiciunt.

Vita principis.

Si qua re parū honeſta te continget delectari,fac clàm id facias. Quoties autem in maximis uerſaberis negocijs,tum populum teſtem admitte.Ne poſtules ut cæteri quidem compoſite uiuant ,reges autem incompoſite.

Opinio de principe.

Quin magis tuam temperantiam alijs exemplum facito,gnarus totius ciuitatis mores ,principis imitari uitam.Hoc argumento cognoſces te recte imperare,ſi eos quibus imperas uideris tua cura reddi , ſimul & opulentiores & temperantiores. Magis enitere ut honeſtam famam liberis tuis relinquas ,quàm ingentes opes. Quippe mortales ſunt hæ,illa immortalis,& per famam pecunia parari poteſt: fama uero numis emi non poteſt.Ad hæc pecunia contingit & malis,famam nemo parare poteſt , niſi qui uirtute cæteris antecellat.

Sophiſtica præceptio.

In ueſtimentis & corporis ornamentis delitias oſtēde,in cæteris autem uitæ munijs temperans eſto , ſicuti regem decet,ut & qui te conſpiciunt ,ex apparatus aſpectu dignum imperio iudicent , & qui tecum uiuunt , admirantes animi uim ,eandem quam illi ,de te habeant opinionem.

Ab omni ſpecie mali princeps abſit.

Conſidera ſemper quid uel dicas uel facias,ut in errata quàm minima incidas. Potiſſimum quidem eſt ipſum ,rerum punctum attingere: cæterum quoniam id perdifficile cognitu, malis citra illud ſubſiſtere quàm præterire. Magis enim ad mediocritatem facit,quod diminutum eſt,quàm quod redundat.

Seueritas condita clemētia.

Simul & urbanus eſſe ſtude ,& grauis. Propterea quod hoc quidem regem decet,illud autem ad uitæ cōſuetudinem eſt accommodum.quanq̃,id eſt omniū difficillimū. Reperies enim plerunq; fieri,ut qui graues uideri affectant ,frigidi ſint, & rurſum qui ſtudēt urbani eſſe,humiles uideātur & abiecti.

Proinde

μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς διαπρά-
ξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς
πονηροῖς μέτεστι. νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι, μὴ τὰς ἐν τῷ
φανερῷ μετὰ δέους γινομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὑτοῖς ὄντες μᾶλ-
λον σοῦ τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσιν. λάνθανε μὲν ἐὰν ἐπὶ τῷ
σοι συμβῇ τῶν φαύλων χαίρειν, ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων.
μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως, ἀλλὰ τὴν
σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γινώσκων ὅτι τὸ τῆς
πόλεως ἦθος ὅλης, ὁμοιοῦται τοῖς ἄρχουσι. σημεῖον ἔστω σοὶ τοῦ καλῶς
βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γι-
γνομένους διὰ τὴν σὴν ἐπιμέλειαν. περὶ πλείονος ποιοῦ δόξαν καλὴν,
ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν. ὁ μὲν γὰρ θνητὸς, ἡ δὲ ἀθάνατος, καὶ
δόξῃ μὲν χρήματα κτητὰ, δόξα δὲ χρημάτων οὐκ ὠνητή. καὶ τὰ μὲν καὶ
τοῖς φαύλοις παραγίνεται, τὴν δὲ οὐχ οἷόν τε, ἀλλ' ἢ τοὺς διενεγκόντας
κτήσασθαι. τρύφα μὲν ταῖς ἐσθῆσι καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις, καρτέρει δὲ
ὡς χρὴ τοὺς βασιλέας ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασιν, ἵνα οἱ μὲν ὁρῶντες
διὰ τὴν ὄψιν, ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συνόντες διὰ τὴν τῆς
ψυχῆς ῥώμην, τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν. ἐπισκόπει τοὺς λόγους αἰεὶ
τοὺς σαυτοῦ, καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστοις τοῖς ἁμαρτήμασι περιπίπτῃς.
κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν. ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔ-
χουσιν, ἐλλείπειν αἱροῦ καὶ μὴ πλεονάζειν. αἱ γὰρ μετριότητες μᾶλλον ἐν
ταῖς ἐνδείαις, ἢ ταῖς ὑπερβολαῖς ἰσχύουσιν. ἀστεῖος εἶναι πειρῶ καὶ σεμνός.
τὸ μὲν γὰρ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. χαλεπώ-
τατον δὲ τοῦτο πάντων ἐστὶ προσταγμάτων. εὑρήσεις γὰρ ὡς ἐπὶ πολὺ τοὺς μὲν
σεμνυνομένους ψυχροὺς ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι, ταπει-
νοὺς φαινομένους. δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις ταῖς ἰδέαις ταύταις

τὴν δὲ

Proinde utriſque his rebus ſic utendum eſt, ut quod mali utrique adiunctū eſt, euites. Quicquid eorū quæ regē ſcire cōuenit, uoles cognoſcere, id partim uſu partim philoſophia conſequere. Nam philoſophiæ ſtudium uiam ac rationem oſtēdet tibi, negociorum autem exercitatio præſtabit, ut in obeundis rebus poſſis uerſari. Obſerua, & quid faciant priuati, quid reges, & quis uniuſcuiuſque rei euentus. Nam ſi præteritorum memor eris, rectius de futuris ſtatues. Abſurdum eſſe puta inter priuatos eſſe, qui mortem oppetere non recuſent, quo defuncti laudentur: reges autem non hoc eſſe animo, ut his in negocijs uerſentur, ex quibus uiuentes honeſtam conſequantur opinionem. Imagines tuas ita ſtude relinquere, ut uirtutis tuæ magis quàm corporis ſint monimenta. Enitere quidem in primis, ut in tuto ſit & tua & ciuitatis incolumitas. Cæterum ſi te in diſcrimen traxerit neceſſitas, potius apud te ſit cum laude mori, quàm cum dedecore uiuere. In omnibus factis tuis imperij rationem habe, dáq; operam, ne quid indignum iſto honore admittas. Ne commiſeris, ut totus intereas: uerum quando corpus mortale ſortitus es, animam immortalem, immortale animi monimentum ſtudeto relinquere. Curæ tibi ſit de rebus honeſtis loqui, ut aſſuefactus eadem & ſentias quæ dixeris. Quæ tibi conſultanti uiſa ſunt optima, ea re perficito. Quorū æmularis gloriam, horum imiteris & facta. Quæ liberis tuis conſuleres, ea uelis ipſe ſequi. Aut utere quæ à nobis dicta ſunt, aut quæ his meliora. Sapientes exiſtima, non iſtos qui de rebus minutis exacte contendunt, ſed qui de maximis recte diſſerunt: neque hos qui felicitatem pollicentur alijs, cum ipſi multarum inopia rerum urgeantur, ſed qui modeſte de ſeipſis uerba facientes, & in rebus gerendis, & cū hominibus uerſari poſſunt, neq; uitæ cōmutatione perturbantur, uerum aduerſam iuxtà ac ſecundam fortunā ferre norūt.

Vſus cū prudentia coniunctus.

Ex euentu prudentia.

Vera regum gloria.

Honeſtum uitæ anteponendum.

Executio boni conſilij.

In magnis ſapiendum, non in minutis.

Neq;

τὴν δὲ συμφορὰν τὴν ἑκατέραις προσοῦσαν διαφεύγειν. ὅ,τι ἂν ἀκριβῶς εἰδέναι βούλει, ὧν μὲν ἐπιτηδεύεσθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ. τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει. τὸ δὲ ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι, δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. θεώρει τὰ γινόμενα καὶ τὰ συμπίπτοντα, καὶ τοῖς ἰδιώταις, καὶ τοῖς τυράννοις. ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ. δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν ἐθέλειν τινὰς ἀποθνήσκειν, ἵνα πλουτήσαντες ἐπαινεθῶσι, τοὺς δὲ βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσιν. βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον, ἢ τοῦ σώματος καταλιπεῖν. μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν σαυτῷ, καὶ τῇ πόλει διαφυλάττειν. ἢν δ' ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι, μᾶλλον ἢ ζῆν αἰσχρῶς. ἐν ἅπασι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας, καὶ φρόντιζε ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης ποιήσῃς. μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν, ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς, ἀθάνατον μνήμην καταλιπεῖν. μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. ἃ δ' ἂν σοὶ λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. ἃ τοῖς παισὶ τοῖς σαυτοῦ ἂν συμβουλεύσαις, τούτοις αὐτὸς ἐμμένειν ἀξίου. χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων. σοφοὺς νόμιζε μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας. μηδὲ τοὺς τοῖς μὲν ἄλλοις εὐδαιμονίαν ὑπισχνουμένους, αὐτοὺς δὲ ἐν πολλαῖς ἀπορίαις ὄντας, ἀλλὰ τοὺς μέτρια μὲν περὶ αὑτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ μετρίως, καὶ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέρειν ἐπισταμένους.

Neq; mirum tibi ſit,ſi in his quæ dicta ſunt à nobis permulta ſunt,quæ te quoq; non fugiebant,quandoquidē ne me quidē ea res latebat.Imò ſciebam,cum tanta ſit priuatorum hominū ac principum multitudo,nonnullos eſſe qui hæc dixiſſent,nō nullos qui audiſſent,nōnullos qui alios eadem facientes conſpexiſſent,rurſum alios,qui nonnulla huius generis exerceant ipſi.At enim in uerbis quæ ad uitam inſtituendā pertinēt nō oportet ſpectare nouitatem,quibus neq; nouū aliquid,neque incredibile,neq; quod abhorreat ab hominū opinione,licet inuenire:uerum hunc elegantiſſimū eſſe iudicato,quiſquis eorū quæ diſperſa ſunt in aliorum cogitatione,ꝙ maximā uim coaceruare potuerit,deq; his ꝙ optime dicere. Nam & illud ſciebam,tum poëmata,tum oratione libera conſcriptos libros,utiliſſimos quidem ab omnibus exiſtimari eos,qui uiuēdi tradūt præcepta.atqui non eoſdem audiunt libentiſſime,atq; idem illis accidit in his,quod erga admonentes ſolet,quos ita laudāt omnes,ut tamen nolint illis accedere,præoptant autem cū ijs, qui peccant habere cōmercium,ꝙ cum ijs qui à peccando deterrent.Id ita eſſe,Heſiodi,Theognidis,& Phocyllidis poëſis fuerit argumento.Siquidem hos nemo non fatetur,ad mortalium uitam inſtituendam optimum dediſſe conſilium.Cæterū hæc cum dicant,malunt tamen ea ſequi quæ ipſorum ſuadet amentia,quā quæ illorum monita.Adde quod etiam ſi quis è poëtis eximijs excerperet,quas uocant ſententias,in quibus illi potiſſimum elaborarunt,nō aliter & erga has eſſent affecti. Libentius enim audirent abiectiſſimam comœdiam,ꝙ præcepta tanto artificio conſcripta.Et quid attinet recenſendis ſingulis immorari?In ſumma,ſi mortalium ingenia conſiderare uolumus,nimirum cōperiemus maximā horū partem,neq; cibis gaudere ſaluberrimis,neq; ſtudijs honeſtiſſimis,nec actionib⁹ optimis,nec diſciplinis utiliſſimis,ſed modis oībus cū utilitate pugnātes ſeq uoluptates,cosq; ꝑ tēperatis & induſtrijs haberi,qui nihil earū rerū agunt,quæ ad recte uiuendū requirunt.

Peroratio ſophiſtica.

Iſocraticū eſt bonam uoluminis partem procemijs,& perorationibus cōſumere

Proinde

καὶ μὴ θαύμαζε εἰ πολλὰ τῶν λεγομένων ἐστὶν ἃ καὶ σὺ γιγνώσκεις. οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν, ἀλλ' ἠπιστάμην ὅτι τοσούτων ὄντων τὸ πλῆθος, καὶ τῶν ἰδιωτῶν καὶ τῶν ἀρχόντων, οἱ μὲν τούτων εἰρήκασιν, οἱ δὲ ἀκηκόασιν, οἱ δὲ ἑτέρους ποιοῦντας ἑωράκασιν, ἔνια δὲ αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες. ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τοῖς περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν τὰς καινότητας, ἐν οἷς οὔτε παράδοξον οὔτε ἄπιστον οὔτ' ἔξω τῶν νομιζομένων οὐδὲν ἔστιν εὑρεῖν, ἀλλὰ χρὴ ἡγεῖσθαι τοῦτον εἶναι χαριέστατον, ὃς ἂν τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι τὰ πλεῖστα δυνηθῇ, καὶ φράσαι κάλλιστα περὶ αὐτῶν. ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων, καὶ τῶν συγγραμμάτων, χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γε αὐτῶν ἀκούουσιν, ἀλλὰ ταὐτὸ πεπόνθασιν ὅπερ πρὸς τοὺς νουθετοῦντας. καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μὲν ἅπαντες, πλησιάζειν δὲ οὐ βούλονται, ἀλλὰ μᾶλλον αἱροῦνται συνεῖναι τοῖς συνεξαμαρτάνουσιν, ἀλλ' οὐ τοῖς ἀποτρέπουσι. σημεῖον δ' ἄν τις ποιήσαιτο, τὴν Ἡσιόδου καὶ Θεόγνιδος, καὶ Φωκυλίδου ποίησιν. καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους συμβούλους γεγενῆσθαι τῷ βίῳ τῷ τῶν ἀνθρώπων, ταῦτα δὲ λέγοντες αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον ἢ ταῖς ἐκείνων ὑποθήκαις. ἔτι δ' εἴ τις ἐκλέξειε τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστα ἐσπούδασαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν. ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης, ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσαιεν. καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν; ὅλως γὰρ εἰ ἐθέλοιμεν σκοπεῖν τὰς φύσεις τῶν ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν, οὔτε τῶν σιτίων χαίροντας τοῖς ὑγιεινοτάτοις, οὔτε τῶν ἐπιτηδευμάτων τοῖς καλλίστοις, οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις, οὔτε τῶν μαθημάτων τοῖς ὠφελιμωτάτοις, ἀλλὰ παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας καρτερικοὺς εἶναι καὶ φιλοπόνους τοὺς τῶν δεόντων τι μὴ ποιοῦντας.

Proinde qui poſſis huiuſmodi probari mortalibus, uel admonens uel docens, uel de re quapiam conducibili uerba faciens, qui ſi quid dixeris, ut inuident recte ſentientibus, ita ſimplices arbitrantur eos quibus nihil eſt ingenij. Porrò rerum ueritatem uſqueadeo fugiunt, ut ne ſuas quidem ipſorum res nouerint. Quin magis moleſtum eſt de proprijs cogitare, iucundum de alienis diſſerere: hoc autem ſunt animo, ut malint corpore male affecto eſſe quàm mente laborem hunc capere, ut de re quapiam utili conſiderent. Cæterum in mutua quidem uitæ inter ipſos conſuetudine deprehendas eos, aut male dicētes, aut male audientes. Rurſus quoties ſoli ſunt, reperies eos non conſultantes, ſed optantes. Atqui hæc ſanè dicta ſunt, nō aduerſus omneis, ſed eos duntaxat, qui ijs quæ diximus uitijs ſunt obnoxij. Illud igitur perſpicuum eſt ei qui ſtudeat uel facere quippiam, uel ſcribere, quod uulgo placeat, non ſaluberrimos, ſed fabuloſiſſimos ſermones eſſe quærendos, propterea quod his quidem audiendis delectantur, cæterum cum ipſos labores & certamina ſpectant, moleſtia afficiuntur. Quas ob res admirandus eſt Homerus, nec non primi illi tragœdiæ repertores, qui perſpecta penitus hominū natura, utraque formula ad poëmatis argumentum ſunt abuſi. Vt enim ille certamina præliaque ſemideûm expreſſit fabulis, ita hi fabulas ad certamina uitæque actiones deduxerunt, ut ea non iam audiamus ſolum, uerumetiam ſpectemus. Itaque propoſitis id genus exēplis oſtenſum eſt, ijs qui ſtuderent auditorem delectare, ab admonendo conſulendoque abſtinendū eſſe: cæterum ea tum facienda, tum dicenda quibus perſpexerint delectari multitudinem. Atque hæc quidē idcirco breuiter dixi, quod exiſtimē conuenire, ut tu qui non unuſquiſpiā es è populo, ſed populi rex, haud quaque eandem cū reliqua multitudine de rebus habeas opinionem, neque rerū honeſtarum, neque hominū beneuolentiā uoluptate metiaris, quin magis ex recte factis illos æſtimes.

Conſilio non uotis ſubueniendum rebus.

Duplex Homeri poëſis.

Princeps ſupra uulgares opiniones.

Præterea

ὥς τε πῶς ἄν τις τοῖς τοιούτοις, ἢ πράττων, ἢ διδάσκων, ἢ χρήσιμόν τι λέγων ἀρέσειεν. οἱ πρὸς τοῖς εἰρημένοις λόγοις φθονοῦσι μὲν τοῖς εὐφρονοῦσιν, ἁπλοῦς δὲ ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας. οὕτω δὲ τὰς ἀληθείας τῶν πραγμάτων φεύγουσιν, ὥς τε οὐδὲ τὰ σφέτερ' αὐτῶν ἴσασι. ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαίρουσι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι. βούλοιντο δ' ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον, ἢ τῇ ψυχῇ πονῆσαι, καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων. εὕροι δ' ἂν τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις λοιδοροῦντας, ἢ λοιδορουμένους, ἐν δὲ ταῖς ἐρημίαις, οὐ βουλευομένους, ἀλλ' εὐχομένους. λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων. ἐκεῖνο δ' οὖν φανερόν, ὅτι δεῖ τοὺς βουλομένους, ἢ ποιεῖν, ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς, μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τοὺς μυθωδεστάτους. ἀκούοντες μὲν γὰρ τῶν τοιούτων χαίρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας, καὶ τὰς ἁμίλλας, ἄχθονται. διὸ καὶ τὴν Ὁμήρου ποίησιν, καὶ τοὺς πρώτους εὑρόντας τραγῳδίαν ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἀμφοτέραις ταῖς ἰδέαις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. ὁ μὲν γὰρ τοὺς ἀγῶνας καὶ τοὺς πολέμους τῶν ἡμιθέων ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν, ὥς τε μὴ μόνον ἀκουστοὺς ἡμῖν, ἀλλὰ καὶ θεατοὺς γενέσθαι. τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων, δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον, ἐκεῖνα δὲ γραπτέον, καὶ λεκτέον, οἷς ὁρῶσι τοὺς ὄχλους χαίροντας. ταῦτα δὲ διῆλθον, ἡγούμενός σε δεῖν οὐχ ἕνα τῶν πολλῶν, ἀλλὰ πολλῶν ὄντα τύραννον, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν πραγμάτων, μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων ταῖς ἡδοναῖς κρίνειν, ἀλλ' ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν.

Præterea uero quoniã de exercendo ingenio diuerſa eſt philoſophorum ſententia, nonnullis ita cenſentibus è diſputatorijs, & ad contentionem paratis rationibus prudentiores reddi, eos qui ad hæc animũ adiunxerint, alijs rurſum è ciuilibus, & de republica gubernanda præcipientibus, nonnullis ex alijs quibuſdam literis id contingere autumantibus: cum illud interim apud omneis in confeſſo ſit, ei qui fuerit recte inſtitutus, ex horum unoquoqꝫ colligi conſulendi facultatem: nimirum oportet omiſſis ambiguis ad id quod certum ac cõfeſſum eſt accedere, & ad huius rationem illa de quibus dubitetur explorare. Quanquam illud in primis obſeruãdum ijs qui recte uelint ſtatuere, ut in omni negocio quid locus, quid tẽpus, quid rei ratio poſtulet, cõſiderent: quod ſi minus poſſint, certe iſtos qui de gerendis negocijs in genere præcipuunt, cum nihil intelligant eorum quæ ad rem pertinent, rejciant reprobentqꝫ. Si quidem palàm eſt eum qui ſibijpſi nequaquã ſit utilis, nec alios prudentes redditurum. Porrò qui ſapiãt & cordati ſint, quiqꝫ plus cæteris perſpiciunt, hos magni facito, colitoqꝫ, memor nullam omnium eſſe poſſeſſionum æque frugiferã, æque regalem atqꝫ eum qui poſſit recte conſulere. Exiſtimes autem futurum per illos, ut imperium tuum ampliſſimum reddatur, qui quàm plurimum adiuuare poſſint animum tuum. Igitur ego quidem quæ noui admonui, atqꝫ his muneribus te honoro, non quæ tu merebaris, ſed quæ ipſe præſtare potui. Cæterum illud optato, ut cæteri quoqꝫ, quẽadmodum in initio diximus, non uulgata iſta tibi adducant munera, quæ uos pluris emitis à donantibus, qꝫ à uendentibus emeretis: ſed huiuſmodi potius donaria, quibus ſi diligenter utaris, idqꝫ cotidie, nullũ intermittens diem, nõ ſolũ non conteres quod in illis ſolet uſu uenire, uerumetiam tum maiora reddes, tum meliora.

Ex omnibus exerpendum quod ad rem pub. cõducat.

Ex circũſtantijs rerum capiendum conſilium.

Animus principis potiſſimũ colendus.

ISOCRATIS DE REGNO, ERASMO ROTEROD. INTERPRETE, FINIS.

ἄλλως τε καὶ περὶ τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες, καὶ φασίν, οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας. ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν, ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον, ἐξ ἑκάστου τούτων γενέσθαι συμβουλεύεσθαι δυνάμενον. χρὴ τοίνυν ἀφεμένους τῶν ἀμφισβητουμένων ἐπὶ τὸ ὁμολογούμενον ἐλθόντα λαμβάνειν αὐτῶν τὸν ἔλεγχον. καὶ μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεωρεῖν τοὺς συμβουλεύοντας. εἰ δὲ μὴ τοὺς καθόλου περὶ τῶν πραγμάτων λέγοντας, καὶ τοὺς μηδὲν γιγνώσκοντας τῶν δεόντων ἀποδοκιμάζειν. δῆλον γὰρ ὡς ὁ μηδὲν ὢν αὐτὸς χρήσιμος, οὐδ' ἂν ἄλλον φρόνιμον ποιήσειεν. τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾶν πλέον τι τῶν ἄλλων, περὶ πολλοῦ ποιοῦ, καὶ θεράπευε. γιγνώσκων ὅτι σύμβουλος ἀγαθὸς, χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων κτημάτων ἐστί. ἡγοῦ δὲ τούτους σοὶ μεγίστην ποιήσειν τὴν βασιλείαν, οἵτινες ἂν τὴν διάνοιαν τὴν σὴν πλεῖστα ὠφελῆσαι δυνηθῶσιν. ἐγὼ μὲν οὖν ἅ τε γιγνώσκω παρῄνεσα. καὶ τιμῶ σε τούτοις, οἷς τυγχάνω δυνάμενος. βούλου δὲ καὶ τοὺς ἄλλους, ὅπερ εἶπον ἀρχόμενος, μὴ τὰς εἰθισμένας ἄγειν σοὶ δωρεάς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε παρὰ τῶν διδόντων, ἢ τῶν πωλούντων, ἀλλὰ τοιαύτας, ἃς ἐὰν σφόδρα χρήσῃ, καὶ μηδὲ μίαν ἡμέραν διαλύσῃς, οὐ κατατρίψας, ἀλλὰ μείζους καὶ πλείονος ἀξίας οὔσας αὐτὰς ποιήσεις.

ἸΣΟΚΡΆΤΟΥΣ ΤΟΥ͂ ΠΕΡῚ ΤΗ͂Σ ΒΑΣΙΛΕΊΑΣ ΛΌΓΟΥ, ΤΈΛΟΣ.

ISOCRATIS ORATORIS AC PHILOSOPHI ORATIO

grauiſſima ad populum Athenienſem de bello fugiendo,& pace ſeruanda, Petro Moſellano Protegenſe interprete.

OMNES quidem,qui ad dicendũ in hunc cœtum prodeunt ,cõſueuerunt dicere ea eſſe maxima,& in quæ totius ciuitatis ſtudia potiſſimũ debeant incũbere ,de quibus ipſi ſententiam ſunt dicturi. Quod ſi in alijs cauſis in hunc modum præfari cõuenit,haud quaquam indecorum uideri poterit,& de his quæ in manibus ſunt ,eiuſmodi facere exordium.

Pax & bellũ.

Venimus enim concionem habituri de bello & pace, quæ res,cum in communi mortalium uita in utranq; partem plurimum poſſunt,tum ſunt eiuſmodi,ut qui de eis cum laude conſilium ceperint ,eos uitæ quoq; commoditate felicitateq; cæteros anteire ſit neceſſe. Itaque de quibus conſultaturi cõuenimus,quanta ſit magnitudo hinc liquet.

Mali principes & magiſtratus corrupti bonos auerſatur ,adulatoribus autem gaudent.

Sed uideo uos, neſcio quomodo,haud quaquam tanta attentione aureis dicentibus præbere,quanta illi cura uobis uerba faciunt. Quin alijs uel animum diligenter aduertitis,aliorum rurſum ne uocẽ quidem æquis auribus ſuſtinetis. Neq; uero hoc admodũ mirum uideri debet,cum & aliâs exibilare,atq; explodere ſoleatis omneis,ſi qui ueritati, & non potius ueſtris cupiditatibus oratione ſua patrocinentur. Quis autem hoc nõ iure optimo

uitio

ΙΣΟΚΡΑΤΟΥΣ

ΣΟΦΙΣΤΟΥ ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ ΛΟΓΟΣ.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Ἅπαντες μὲν εἰώθασιν, οἱ παριόντες ἐνθάδε ταῦτα μέγιστα φάσκειν εἶναι, καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύειν. οὐ μὴν, ἀλλ᾽ εἰ καὶ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοσε τοιαῦτα προειπεῖν, δοκεῖ μοι πρέπειν καὶ περὶ τῶν νυνὶ παρόντων πραγμάτων ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν. ἥκομεν γὰρ ἐκκλησιάσοντες περί τε πολέμου καὶ εἰρήνης, ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων, καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευομένους ἄμεινον τῶν ἄλλων πράττειν. τὸ μὲν οὖν μέγεθος, ὑπὲρ ὧν συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν. ὁρῶ δ᾽ ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόασιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν. τῶν δὲ, οὐδὲ τὴν φωνὴν ἀνεχομένους. καὶ θαυμαστὸν οὐδὲν ποιεῖτε. καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώθατε πάντας τοὺς ἄλλους ἐκβάλλειν, πλὴν τοὺς συναγορεύοντας ταῖς ὑμετέραις ἐπιθυμίαις. ὃ καὶ δικαίως

uitio dederit,quod,cum non ignoretis ab adulatoribus multas,magnaſque domus ſubuerſas, & quiſque ueſtrum hanc peſtem in priuatis rebus execretur,in reipublicæ tamen adminiſtratione non perinde affecti eſtis? Quin uſu uenit, ut dum maxime eos, qui adulatoribus patefaciunt aureis, damnatis, interim ipſi deprehendamini maiorem habere fidem eiuſmodi hominibus, quàm bonis, & incorruptis ciuibus. Nam quod oratores in hoc ſunt toti, & ante omnia meditantur, non ut quæ ſint ciuitati profutura, ſed ueſtris auribus grata dicant, eius uos ipſi fuiſtis autores, & culpa in uos transferenda: atque adeo & nunc rhetorum uulgus ad hoc ſtudium confluit. Neque id immerito, quando ex ipſis nulli non eſt manifeſtum, qui bellum ſuſcipiendum ſuadent, eos eſſe uobis longe gratiores, quàm qui de pace conſulunt. Illi enim ſpem faciunt, quod per uictoriam non fortunas tantum, quæ in hoſtium urbibus ſunt,nobis ſumus acquiſituri, ſed & potentiam priſtinam recepturi. Hi uero eiuſmodi nihil portendunt, imò conſulunt ocio ſtudendum: & cupiditates,quæ ut plurimum æquitatis metam tranſiliunt, ab inſolentis fortunæ ſtrepitu arcendas: ac quod bonæ mortalium parti omnium eſt difficillimum, præſentem fortunam boni conſulendam. Sic enim à ſpe pendemus & quæ uidentur lucra inſatiabiliter affectamus, ut ne hi quidem, qui maximas poſſident opes, in eis manere uelint, ſed præ maiorum cupiditate uel iam parta,& in tuto collocata denuo periculo exponant,quod crimen omnium maxime nobis fuerat declinandum. At nunc uidere uideor quoſdam ad bellum magna feſtinatione non aliter proſilire, quàm ſi huc non homunculorũ conſilia,ſed deorũ uoces uocarent, hinc certiſſime fore pollicentes,ut ſimul res noſtras labefactatas reſtituamus, ſimul ab hoſtibus uictoriam uel citra negocium reportemus.

Suaſores belli quare haud grauatim audiantur.

Cupiditas, quantũ ualeat.

Sed enim

ἂρ ἂν ὑμῖν ἐπιμεμψαίμην, ὅτι συνειδότες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους, καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας τὴν γνώμην, ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς αὐτούς, ἀλλὰ κατηγοροῦντες τῶν προσιεμένων, καὶ χαιρόντων τοῖς τοιούτοις, αὐτοὶ φαίνεσθε μᾶλλον τούτοις πιστεύοντες, ἢ τοῖς ἄλλοις πολίταις. καὶ γὰρ αὐτοὶ πεποιήκατε τοὺς ῥήτορας μελετᾶν, καὶ φιλοσοφεῖν, οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκοντας ὑμῖν λόγους ἐροῦσιν, ἐφ' οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν συνερρύηκεν. ἅπασι γὰρ ἦν φανερὸν, ὅτι μᾶλλον ἥδεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν πόλεμον, ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν. οἱ μὲν γὰρ, προσδοκίαν ἐμποιοῦσιν, ὡς καὶ τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιούμεθα, καὶ τὴν δύναμιν ἀναληψόμεθα πάλιν, ἣν καὶ πρότερον ἐτυγχάνομεν ἔχοντες. οἱ δ' οὐδὲν τοιοῦτο προτείνουσιν, ἀλλ' ὡς ἡσυχίαν ἔχειν δεῖ καὶ μὴ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τοῖς παροῦσιν. ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων, καὶ πρὸς τὰς δοκούσας εἶναι πλημμελείας ἀπλήστως ἔχομεν, ὥστ' οὐδ' οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους, μένειν ἐπὶ τούτοις ἐθέλουσιν, ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι, καὶ περὶ τῶν ὑπαρχόντων κινδυνεύουσιν. ὅπερ ἄξιον ἦν δεδιέναι, μὴ καὶ νῦν ἡμᾶς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις. λίαν γάρ τινες μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβεβουλευκότων, ἀλλ' ὡς τῶν θεῶν ἀκηκοότες, ὅτι καὶ κατορθώσομεν ἅπαντα, καὶ ῥαδίως τῶν ἐχθρῶν ἐπικρατήσομεν.

Sed enim prudentium, & cordatorum uirorum eſt, non de his, quæ qualia ſint comperta habent, conſilium capere, quando hoc fuerit ſuperuacaneæ curioſitatis, uerum quæ iam decreuerint, ipſo facto præſtare. quæ porrò in conſilium ueniant, eorum quis tandem ſit futurus exitus, haud quaquam pro certo ſtatuere, ſed magis qualibuſcunq; cõiecturis uerisimili rerum

Principis officiũ in æſtimãdis conſiliariorum ſuorum ſententijs.

euentu collecto, ſic demum ſententiam ferre. Quorum neutrum uos facitis, imò deliberatio hæc uos perturbatiſſimos oſtendit. Etenim in hoc conueniſtis, ut ex omnium ſententijs inuicem penſitatis, quod optimum factu ſit, eligatis: attamen perinde ac ſi hoc iam in aperto proſtaret, quæ hic dicuntur, audire non uultis, niſi forte eos, quorum concio non tam rerum

Adulatores ad gratiam loquuntur.

quærit ueritatẽ, q̃ audientium ſpectat uoluptatem. Atqui cõueniret uos, ſi modo quæ ciuitati profutura ſunt, quærere eſt cordi, ijs magis animũ aduertere, q̃ ueſtris animi decretis aduerſa ſuadent, q̃ qui dicendo hoc unum agunt, ut gratiam ueſtram eblandiantur. Siquidẽ nõ neſcitis quod ex his, qui huc dicturi prodeunt, ſi qui ueſtris animis grata dicunt ei facile decipere poſſunt. Nam quod ad gratiam dicitur tenebras ſecum adfert, ut quod optimum eſt conſpici nequeat. Ab his autem, qui in cõſulendo, non ad uoluptatẽ loquuntur, nihil tale fuerit timendum. His enim, niſi quid utile ſit futurũ oſtẽdet, nulla relinquitur uia, qua ſententiã ſuã perſuadere poſſint. Iã uero q̃d tandem ſupereſt, quo homines queant aut de præteritis recte iudicare, aut de futuris feliciter conſultare, ſi non ſententias in utranq; partẽ dictas inter ſeſe cõpoſitas, uelut ad librã examinent, ac ipſi ſe cõmuneis auditores utriuſq; partis cõſilijs exhibeant? Quod ad me attinet, demiror ꝓfecto uel ſenes uos, ſi

Qui bellũ ſuadent magnarum calamitatum ſemper ſunt autores.

nõ adhuc in memoria habetis, uel iuuenes, ſi è nullo audiuiſtis per eos quidẽ, qui paci ſtudendum ſuadent, nihil unquã mali nobis accidiſſe. Atqui quãtumuis leui de cauſa bellum exuſcitant, eos multarum, magnarumque calamitatum nobis autores extitiſſe, quarum in præſentia nullam facimus mẽtionem, imò expediti, & tantum non ad bellũ inſtructi aſtamus, nihil

prius

χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι, μὴ βουλεύεσθαι. περίεργον γάρ, ἀλλὰ πράττειν ὡς ἐγνώκασι. περὶ δ' ὧν ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ' ὡς δόξῃ μὲν χρωμένους, ὅ τι ἂν τύχῃ δὲ γενησόμενον, οὕτω διανοεῖσθαι περὶ αὐτῶν. ὧν ὑμεῖς οὐδέτερον τυγχάνετε ποιοῦντες, ἀλλ' ὡς οἷόν τε ταραχωδέστατα διάκεισθε. συνεληλύθατε μὲν γάρ, ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον, ὥσπερ δ' ἤδη σαφῶς εἰδότες ὃ πρακτέον ἐστὶν, οὐκ ἐθέλετε ἀκούειν, πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων. καίτοι προσῆκεν ὑμᾶς εἴπερ ἐβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμφέρον, μᾶλλον τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν, ἢ τοῖς καταχαριζομένοις. εἰδότας ὅτι τῶν ἐνθάδε παριόντων, οἱ μὲν ἃ βούλεσθε λέγοντες, ῥᾳδίως ἐξαπατᾶν δύνανται. τὸ γὰρ πρὸς χάριν ῥηθὲν, ἐπισκοτεῖ τῷ καθορᾶν ὑμᾶς τὸ βέλτιστον. ὑπὸ δὲ τῶν μὴ πρὸς ἡδονὴν συμβουλευόντων, οὐδὲν ἂν πάθοιτε τοιοῦτον. οὐ γάρ ἐστιν ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν ὑμᾶς μὴ φανερὸν τὸ συμφέρον ποιήσαντες. χωρὶς δὲ τούτων πῶς ἂν ἄνθρωποι καλῶς δυνηθεῖεν, ἢ κρῖναι περὶ τῶν γεγενημένων, ἢ βουλεύσασθαι περὶ τῶν μελλόντων, εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παραλλήλους ἐξετάζοιεν. αὐτοὶ δὲ αὑτοὺς κοινοὺς ἀμφοτέροις ἀκροατὰς παρέχοιεν. θαυμάζω δὲ τὰ τῶν πρεσβυτέρων, εἰ μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰρήνης, οὐδὲν πώποτε κακὸν ἐπάθομεν. διὰ δὲ τοὺς ῥᾳδίως τὸν πόλεμον αἱρουμένους, πολλαῖς ἤδη καὶ μεγάλαις συμφοραῖς περιεπέσομεν, ὧν ἡμεῖς οὐδὲ μίαν ποιούμεθα μνείαν, ἀλλ' ἑτοίμως ἔχομεν μηδὲν

prius, potiusue exiſtimantes, quàm ut delectu habito triremes inſtruamus, pecunias exactione cõgeramus, & ſine diſcrimine quibuſuis mittamus auxilia, uel inferamus bellũ. Perinde enĩ, ac ſi in aliena urbe de ſumma rerũ periclitaremur, trepidamus.

Omnis in repub. mali cauſa, quod magiſtratus magis ſuum quã publicum commodum quærunt.

Horum omnium hæc cauſa eſt, quod cum deceat nõ minore ſollicitudine reip. commodum, quàm & priuatæ procurare, uos tamen in cõmunibus ciuium rebus nõ eundem animũ præſtatis. Sed ſi quando priuata negocia in deliberationem cadunt, qui melius, quàm uos ipſi ſapiunt, eos in cõſilium adhibetis. Si uero frequente ſenatu reipu. ſalus agatur, bonis eiuſmodi fidem non habetis, & quod inſolentius eſt, inuidetis. Porrò malos, qui forte in concionẽ aſcendunt, laudatis, & ebrios magis eſſe populareis cenſetis quàm ſobrios, amẽteis quàm cordatos, ciuitatis bona diſſipanteis quàm qui ne familiaribus quidem copijs parcũt, quo reipub. cõmoda promoueant. Quamobrem monſtro ſimile uidetur, ſi quis ciuitatem hanc noſtram tantiſper, dum eiuſmodi cõſiliarijs utitur, creſcere poſſe ſperat. Ego profecto nõ ignoro quàm ſit lubricum, & periculo plenum ueſtris placitis dicendo reluctari, & quod ſtante hac reipu. forma, ut magiſtratus non tam uirtute quàm ſorte committantur, liberius loquendi facultas iacet, nulliq́ʒ datur copia aperte agendi, niſi qui ſit, aut egregie ſtultus, aut ueſtri, hoc eſt, publici commodi nullam planẽ gerat curam.

Comœdiarũ actores.

Sed interim admiror comœdiarum actorib. quod eſt omniũ abſurdiſſimum, hanc licentiam in theatro impune eſſe. Et quæ nã hæc peruerſitas? His qui ſingulorũ ciuiũ peccata per uniuerſam ſpargunt Græciam, tantã habetis gratiã, quãtam uix eis, qui de repub. bene meruerunt. At in illos, qui uos obiurgant & libere monent, non alios geritis animos, quàm ſi malo aliquo rempu. læderent. Hæc tametſi, ut dixi ſe habẽt nõ tamen ab his, quæ in animo ſtatui, deterritus deſiſtã: quãdo huc prodij non ut uobis gratificarer, aut honoris acquirẽdi gratia ſuffragia ueſtra eblãdirer, ſed quæ ipſe ſentiã, dicerẽ: primum de quibus magiſtratus retulerũt: deinde de alijs reip. negocijs.

Niſi enim

εἰς τοὔμπροσθεν ἡμῖν αὐτοῖς πράττοντες, τριήρεις πληροῦν, καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι, καὶ βοηθεῖν καὶ πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει κινδυνεύοντες. τούτων δ' αἴτιόν ἐστιν, ὅτι προσῆκον ὑμᾶς ὁμοίως ὑπὲρ τῶν κοινῶν, ὥσπερ ὑπὲρ τῶν ἰδίων σπουδάζειν. ὑμεῖς δὲ οὐ τὴν αὐτὴν γνώμην ἔχετε περὶ αὐτῶν, ἀλλ' ὅταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους, τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν. ὅταν δὲ ὑπὲρ τῆς πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε, καὶ φθονεῖτε, τοὺς δὲ πονηροὺς τῶν ἐπὶ τὸ βῆμα παριόντων, ἐπαινεῖτε. καὶ νομίζετε δημοτικωτέρους εἶναι τοὺς μεθύοντας τῶν νηφόντων, καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων, καὶ τοὺς τὰ τῆς πόλεως διανεμομένους, τῶν ἐκ τῆς ἰδίας οὐσίας ὑμῖν λειτουργούντων. ὥστε ἄξιον θαυμάζειν, εἴτις ἐλπίζει τὴν πόλιν τοιούτοις συμβούλοις χρωμένην, ἐπὶ τὸ βέλτιον ἐπιδώσειν. ἐγὼ δὲ οἶδα μὲν ὅτι πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις. καὶ ὅτι δημοκρατίας οὔσης, οὐκ ἔστι παῤῥησία. πλὴν ἐνθάδε μὲν τοῖς ἀφρονεστάτοις, καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ τῷ θεάτρῳ τοῖς κωμῳδοδιδασκάλοις. ὃ καὶ πάντων ἐστὶ δεινότατον. ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα τοσαύτην ἔχετε χάριν, ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι. πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς, οὕτω διατίθεσθε δυσκόλως, ὥσπερ τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους. ὅμως δὲ καὶ τούτων ὑπαρχόντων, οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. παρελήλυθα γὰρ, οὐ χαριούμενος ὑμῖν, οὐδὲ χειροτονίαν μνηστεύσων, ἀλλ' ἀποφανούμενος ἃ τυγχάνω γινώσκων. πρῶτον μὲν, περὶ ὧν οἱ πρυτάνεις προτιθέασιν, ἔπειτα καὶ περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων.

οὐδὲν

Niſi enim & de reliquis recte conſilium inierimus, nihil planè profuerit ea, quæ ad pacem attinent, decernere. Itaq; cõſultiſſimum mihi uidetur, facere pacem non ſolum cum Chijs, Rhodijs, & Byſantijs, ſed omnibus omnium gentium hominibus, & fœdus ipſo uſu firmare, non quod nuper quidam ſeorſim percuſſerunt, ſed quod cum rege & Lacedæmonijs ictum eſt, quo Græcis libertas decernit, præſidia ex alienis urbibus educi iubentur: atq; hac ratione quiq; ſuam ipſorum teneant ciuitatem. Nam his pactis, neq; æquiora, neq; ciuitati magis profutura inuenire poterimus. Iam ſi hoc loco orationem ſiſtam, uidebor, ſat ſcio, ipſius ciuitatis commodis detrahere. Siquidem ita fiet, ut Thebani Theſpias, Platæas, ac reliquas ciuitates, quas præter iuriſiurandi ſacramenta occuparunt, retineãt. Nos autem, etiamſi nulla neceſſitas urget, iam partis cedemus. Cæterum ſi intentis animis ad finem uſq; nos audiueritis, opinor fore, ut eorum magnam ſtulticiam, imò inſaniam omnes uno ore damnetis, qui iniuſtitiam lucrum putant, quiq; alienas urbes per uim detinent parumq; reputant, quot calamitates ex huius iniquitatis fonte iam ſint ante ſæpe in rempub. deriuatæ. In hoc ergo tota uerſabitur oratio, hocq; uobis o͠mibus ſic habere conabor oſtendere. Ac primum quidem de pace diſſeremus, & quid tandẽ ſit illud cuius gratia cõuenimus quodq; nobis contingere uelimus. Hoc ſi recte & animo præſente ſtatuerimus, huc uelut ad ſcopũ reſpiciendo, felicius & de cæteris conſilium quærere poterimus. Itaq; an nõ abunde nobis foret ſatis, ſi & ciuitatem hanc noſtrã tuto habitaremus, & illis, quæ ad uitæ uſum requiruntur, abundaremus. Tum autem in noſtris ipſorum rebus eſſemus concordes, ac denique apud reliquos Græcos o͠meis nominis noſtri gloria celebraretur. Equidem exiſtimo, ſi hæc nobis ſuppeteret, nihil planè deeſſe quo minus reſpu. noſtra in felicem ſuum ſtatum rediret. Nunc aũt bellum his bonis nos ſpoliauit omnibus. Etenim non ſolum pauperiores nos reddidit, & plurima pericula ſufferre coëgit, ſed &

Cum omnibus ſi licet ſeruanda pax.

Quæ ciuitas, quæ ue ditio felix.

Belli premiũ

οὐδὲν γὰρ ὄφελός ἐστι τῶν νῦν περὶ τῆς εἰρήνης γνωσθέντων, ἢν μὴ καὶ περὶ τῶν λοιπῶν ὀρθῶς βουλευσώμεθα. φημὶ δ᾽ οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην, μὴ μόνον πρὸς Χίους, καὶ Ῥοδίους, καὶ Βυζαντίους, ἀλλὰ καὶ πρὸς ἅπαντας ἀνθρώπους, καὶ χρῆσθαι ταῖς συνθήκαις, μὴ ταύταις αἷς νῦν τινὲς γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις μὲν πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ, τοὺς Ἕλληνας αὐτονόμους εἶναι. καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι, καὶ τὴν αὐτῶν ἔχειν ἑκάστους. τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν, οὔτε μᾶλλον τῇ πόλει συμφερούσας. ἢν μὲν οὖν ἐνταῦθα καταλίπω τὸν λόγον, οἶδ᾽ ὅτι δόξω τὴν πόλιν ἐλαττοῦν. εἰ Θηβαῖοι μὲν ἕξουσι Θεσπιὰς καὶ Πλαταιὰς, καὶ τὰς ἄλλας πόλεις, ἃς παρὰ τοὺς ὅρκους κατειλήφασιν. ἡμεῖς δὲ ἔξιμεν μηδὲ μιᾶς ἀνάγκης οὔσης, ἐξ ὧν τυγχάνομεν ἔχοντες. ἢν δὲ διὰ τέλους ἀκούσητέ μου προσέχοντες τὸν νοῦν, οἶμαι πάντας ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μανίαν τῶν τὴν ἀδικίαν πλεονεξίαν εἶναι νομιζόντων. καὶ τῶν τὰς ἀλλοτρίας πόλεις κατεχόντων βίᾳ, καὶ μὴ λογιζομένων τὰς συμφορὰς, τὰς ἐκ τῶν τοιούτων ἔργων γιγνομένας. ταῦτα μὲν οὖν διὰ παντὸς τοῦ λόγου πειράσομαι διδάσκειν ὑμᾶς, περὶ δὲ τῆς εἰρήνης πρῶτον διαλεχθῶμεν, καὶ σκεψώμεθα τί ἂν ἐν τῷ παρόντι γενέσθαι βουληθείημεν ἡμῖν. ἢν γὰρ καλῶς ταῦτα ὁρισώμεθα καὶ πρὸς ταύτην τὴν ὑπόθεσιν ἀποβλέποντες ἄμεινον βουλευσόμεθα καὶ περὶ τῶν ἄλλων. ἆρ᾽ οὖν ἂν ἐξαρκέσειεν ἡμῖν, εἰ τήν τε πόλιν ἀσφαλῶς οἰκοῖμεν, καὶ τὰ πρὸς τὸν βίον εὐπορώτεροι γιγνοίμεθα, καὶ τά τε πρὸς ἡμᾶς αὐτοὺς ὁμονοοῖμεν, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησιν εὐδοκιμοῖμεν. ἐγὼ μὲν γὰρ ἡγοῦμαι τούτων ὑπαρξάντων, τελέως τὴν πόλιν πάλιν εὐδαιμονήσειν. ὁ μὲν τοίνυν πόλεμος ἁπάντων ἡμᾶς τῶν εἰρημένων ἀπεστέρηκε, καὶ γάρ τοι πενεστέρους πεποίηκε, καὶ πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε,

ſed & Græcis omnibus odioſos præſtitit:breuiter modis omnibus rem noſtram afflixit. Quod ſi pacem fecerimus, & quales communia fœdera iubent, tales noſipſi exhibuerimus, futurum, ut bellis, periculis, deniq; turbulentiſſimis turbis, in quas ipſi nos mutuo coniecimus, remotis omnibus, cum magna tranquillitate ciuitatem teneamus, & indies magis ac magis fortunæ noſtræ creſcant. Nam prætorquam quod ab exactionibus, & naualis expeditionis muneribus, quas τριηραρχίας Græci uocãt, alijſq; belli oneribus requieſcere licebit, agros colendo, mare nauigando, alijſq; operibus belli iniuria iamdiu intermiſſis inſtando conſequemur: ut ſi ad hoc tempus reſpiciatur, ciuitatis redditus planè duplicẽtur, uſq; adeo ut mercatoribus, peregrinis, inquilinis, à quibus ob bellorum tumultus eſt deſerta, remigrantibus, ciuitas maxima ſit futura: ſed &, quod mihi omnium ſummum uidetur, habituri ſimus ſocios homines uniuerſos, & eos quidem non coactos, ſed uoluntarios: non qui potentiam noſtram reueriti in tranquillo rerum ſtatu nos ſuſpiciant, uerum periculis imminentibus deſerant, ſed qui hoc ſint erga nos animo, quo decet uere ſocios, & amicos. Præterea quæ nunc nullis uel bellis, uel ſumptibus quantumuis magnis recipere poſſumus, ea pace facta per legationes facile recuperabimus. Neq; enim exiſtimandũ uel Cerſobleptẽ pro Cherſoneſo, uel Philippũ pro Amphipoli nobiſcũ dimicaturos, ubi uiderint nos præ modeſtia nihil alienũ cõcupiſcere. Nunc aũt quia ſemp noſtri noſmet pœnitet, uidentq; nos nunq; nõ plura affectare, ne imperiũ hoc in ſuarũ ditionũ cõfinio nimium creſcat, nõ immerito uerentur. At ſi mores cõmutauerimus, & opinionẽ ſaniorem induerimus, nõ modo à noſtra ditione manus abſtinebũt, ſed & ſuæ partẽ nobis ultro cedẽt. Hinc enim hoc lucrifacere uidebũtur, ut dũ noſtræ ciuitatis potẽtiæ inſeruiunt, hoc prætextu in regnis ſuis ab hoſtiũ incurſu tutius ſedeant. Sed & à Thracij regni corpore tantam regionem detrahere poterimus, ut non ſolum nobis ſit ſatis,

ſed &

καὶ πρὸς τοὺς ἕλληνας διαβέβληκε, καὶ πάντα τρόπον τεταλαιπώρη-
κεν ἡμᾶς. ἢν δὲ τὴν εἰρήνην ποιησώμεθα, καὶ τοιούτους ἡμᾶς αὐτοὺς παρά-
σχωμεν, οἵους αἱ κοιναὶ συνθῆκαι προστάττουσι, μετὰ πολλῆς μὲν ἀσφα-
λείας τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων καὶ κινδύνων
καὶ ταραχῆς, εἰς ἣν νῦν πρὸς ἀλλήλους καθέσταμεν, καθ' ἑκάστην δὲ τὴν
ἡμέραν, εἰς εὐπορίαν ἐπιδώσομεν. ἀναπεπαυμένοι μὲν τῶν εἰσφορῶν,
καὶ τῶν τριηραρχιῶν, καὶ τῶν ἄλλων τῶν περὶ τὸν πόλεμον λῃτουργιῶν.
ἀδεῶς δὲ γεωργοῦντες, καὶ τὴν θάλατταν πλέοντες, καὶ ταῖς ἄλλαις ἐργα-
σίαις ἐπιχειροῦντες. αἳ νῦν διὰ τὸν πόλεμον ἐκλελοίπασιν. ὀψόμεθα
δὲ τὴν πόλιν διπλασίας μὲν, ἢ νῦν τὰς προσόδους λαμβάνουσαν, μεστὴν
δὲ γενομένην ἐμπόρων καὶ ξένων καὶ μετοίκων, ὧν νῦν ἔρημος καθέ-
στηκε. τὸ δὲ μέγιστον, συμμάχους ἕξομεν ἅπαντας ἀνθρώπους, οὐ βε-
βιασμένους, ἀλλὰ πεπεισμένους. οὐδ' ἐν μὲν ταῖς ἀσφαλείαις διὰ τὴν
δύναμιν ὑμᾶς ὑποδεξομένους. ἐν δὲ τοῖς κινδύνοις ἀποστησομένους,
ἀλλ' οὕτω διακειμένους, ὡς προσήκει τοὺς ἀληθῶς συμμάχους καὶ φί-
λους ὄντας. πρὸς δὲ τούτοις, ἃ νῦν ἀπολαβεῖν οὐ δυνάμεθα διὰ πο-
λέμου καὶ πολλῆς δαπάνης, ταῦτα διὰ πρεσβείας ῥᾳδίως κομιούμε-
θα. μὴ γὰρ οἴεσθε μή τι Κερσοβλέπτην ὑπὲρ Χερρονήσου, μή τι Φίλιππον
ὑπὲρ ἀμφιπόλεως ἡμῖν πολεμήσειν, ὅταν ἴδωσιν ἡμᾶς μηδενὸς τῶν ἀλ-
λοτρίων ἐφιεμένους. νῦν μὲν γὰρ εἰκότως φοβοῦνται γείτονα ποιήσασθαι τὴν
πόλιν ταῖς αὑτῶν δυναστείαις. ὁρῶσι γὰρ ἡμᾶς οὐ στέργοντας οἷς ἂν ἔχωμεν.
ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγομένους. ἢν δὲ μεταβαλώμεθα τὸν τρόπον, καὶ δό-
ξαν βελτίω λάβωμεν, οὐ μόνον ἀποστήσονται τῆς ἡμετέρας, ἀλλὰ καὶ τῆς αὐτῶν
προσδώσουσι. λυσιτελήσει γὰρ αὐτοῖς θεραπεύουσι τὴν δύναμιν τὴν τῆς πόλε-
ως, ἀσφαλῶς ἔχειν τὰς αὐτῶν βασιλείας. καὶ μὲν δὴ καὶ τῆς θρᾴκης ἡμῖν ἐξέσται.
τοσαύτην ἀποτεμέσθαι χώραν, ὥστε μὴ μόνον αὐτοὺς ἄφθονον ἔχειν,

ſed & Græcis egentibus,ac ob inopiam incertis ſedibus errantibus,uiuendi cõmoditatem præſtare queat. Nam ſi Athenodorus,ſi Calliſtratus,ille quidem priuatus,hic uero exul,ciuitates cõdere ſuffecerũt,cur nõ & nos,modo uelimus,ſedes eiuſmodi multas obtinere poterimus? Qui porrò inter Græcos primas tenere geſtiunt,eos in eiuſmodi rebus curãdis magis oportet duces eſſe,quàm belli,& exercitus peregrini,quorum tamen nos in præſentia mirum quàm ſumus cupidi. Proinde de his, quæ legati huc annunciarunt,hæc dixiſſe nobis ſit ſatis:quanquã alius quiſpiam plura forſan adiecıſſet. Poſt hæc aũt ſic ſentio concionem non ante dimittendã,quàm non ſolũ ſuffragijs pacem decreuerimus,ſed & cõſilium,quo retineri queat,inuenerimus:ne quod ante ſæpe,& nunc uſu ueniat,nimirum ut ubi pauliſper quieuerimus,denuo in eaſdẽ turbas recidamus. Nec tam præſentia mala effugiamus,quàm ad tempus ſuſpendamus.

Ocium negocio præferendum.

Atqui horum nihil fieri poterit feliciter,prius quàm uobis perſuaſeritis,ocium agere,rem eſſe utiliorẽ,inque maius cedere lucrũ, quàm alienarum rerũ curis tumultuari. Tum iuſticiã ſectari potius quàm iniuſticiam,noſtrorum curam gerere ſatius quàm aliena concupiſcere. De quibus tametſi nullus unquam oratorũ uobis uerba facere eſt auſus,ipſe tamen de ijſdem plurimas apud uos orationes ſum habiturus:neque id præter rationem,quãdo in his rebus reipub. felicitatem,non autem eis,quæ nunc agimus uideo conſiſtere. Sed enim,qui publica & omniũ uſu trita dicendi uia poſthabita,noua aliqua ſuadendi ratione populum in ſentẽtiam diuerſam traducere ſtudet,ei neceſſe eſt, non tantum in dicendo plura attingere,& per hoc orationem prolixiorem afferre:ſed pro iudiciorum uarietate alia quidem uelut in memoriam reuocare,alia rurſum incuſare,rurſum alia laudare,de alijs uero conſilium dare. Vix enim ijs omnibus quis anniſus,ad meliorem mentem uos reducere poterit. Et certe ita ſe res habet. Omnes quidem mihi uidentur,quæ commoda ſunt concupiſcere,& ut plus cæteris habeant,conari,

Pro uarietate audientium dictio eſt temperanda.

Veriſſ. ſententia.

ſed uiam

ἀλλὰ καὶ τοῖς δεομένοις τῶν ἑλλήνων καὶ δι᾽ ἀπορίαν πλανωμένοις, ἱκανὸν τὸν βίον παρέξειν. ὅπου γὰρ ἀθηνόδωρος καὶ καλλίστρατος, ὁ μὲν ἰδιώτης ὤν, ὁ δὲ, φυγὰς, οἰκῆσαι πόλεις, οἷοί τε γεγόνασιν, ἦ που βουληθέντες ἡμεῖς, πολλοὺς ἂν τόπους τοιούτους δυνηθείημεν κατασχεῖν. χρὴ δὲ τοὺς πρωτεύειν ἐν τοῖς ἕλλησιν ἀξιοῦντας, τούτων ἔργων ἡγεμόνας γίγνεσθαι πολὺ μᾶλλον, ἢ πολέμου καὶ στρατοπέδου ξενικοῦ, ὧν νῦν ἡμεῖς ἐπιθυμοῦντες τυγχάνομεν. περὶ μὲν οὖν ὧν οἱ πρέσβεις ἐπαγγέλλονται, καὶ ταῦθ᾽ ἱκανά, καὶ πολλὰ ἂν ἴσως τις προσθείη τούτοις. ἡγοῦμαι δὲ δεῖν ὑμᾶς οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην, ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν, ἀλλὰ καὶ βουλευσομένους ὅπως ἄξομεν αὐτὴν, καὶ μὴ ποιήσομεν ὅπερ εἰώθαμεν. ὀλίγον χρόνον διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς καταστησόμεθα ταραχάς. μὴ δ᾽ ἀναβολὴν, ἀλλ᾽ ἀπαλλαγὴν εὑρήσομέν τινα τῶν κακῶν τῶν παρόντων. οὐδὲν δὲ τούτων οἷόν τε γενέσθαι πρότερον, πρὶν ἂν πεισθῆτε, τὴν μὲν ἡσυχίαν ὠφελιμωτέραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης. τὴν δὲ δικαιοσύνην, τῆς ἀδικίας. τὴν δὲ τῶν ἰδίων ἐπιμέλειαν, τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας. περὶ ὧν οὐδεὶς πώποτε τῶν ῥητόρων εἰπεῖν ὑμῖν ἐτόλμησεν. ἐγὼ δὲ περὶ αὐτῶν τούτων τοὺς πλείστους τῶν λόγων μέλλω ποιεῖσθαι πρὸς ὑμᾶς. ὁρῶ γὰρ τὴν εὐδαιμονίαν ἐν τούτοις ἐνοῦσαν, ἀλλ᾽ οὐκ ἐν οἷς ἐτυγχάνομεν πράττοντες. ἀνάγκη δὲ τὸν ἔξω τῶν εἰθισμένων ἐπιχειροῦντα δημηγορεῖν, καὶ τὰς ὑμετέρας γνώμας μεταστῆσαι βουλόμενον, πολλῶν πραγμάτων ἅψασθαι, καὶ διὰ μακροτέρων τοὺς λόγους ποιήσασθαι. καὶ τὰ μὲν, ἀναμνῆσαι, τῶν δὲ, κατηγορῆσαι. τὰ δὲ ἐπαινέσαι, περὶ δὲ τῶν, συμβουλεῦσαι. μόλις γὰρ ἄν τις ὑμᾶς ἐξ ἁπάντων τούτων ἐπὶ τὸ βέλτιον φρονῆσαι δυνηθείη προαγαγεῖν. ἔχει δ᾽ οὖν οὕτως. ἐμοὶ δοκοῦσιν ἅπαντες μὲν ἐπιθυμεῖν τοῦ συμφέροντος καὶ τοῦ πλέον ἔχειν τῶν ἄλλων.

ſed uiam,quæ eò perducat,ignorare. Quinetiam opinionibus inter ſe longe,lateq́ȝ diſſidēt. Namq́ȝ alij quidem ſunt cordati, & quod potiſſimum ad rem pertineat,coiecturis aſſequi poſſunt. Rurſus alij ab eo quod cōferre poterat quàm longiſſime aberrant. Id quod & ciuitati huic noſtræ accidit. Perſuaſum enim habemus ſi multis triremibus mare nauigauerimus ,ſi ciuitates alienas tributum dare,& ſubinde legatos huc miſſitare compulerimus,nos quiddam magnopere profuturum cōfeciſſe:cum interim à ueritate procul abſumus. Nam præterq́ȝ quod ex illis,quæ ſperabamus nihil planè procedit,inſuper inimicitias,bella,& ſumptus nobis lucri fecimus : idq́ȝ non iniuria,quandoquidem ut ante ex eiuſmodi curarum tumultu in extrema pericula deuenimus,ita per hoc quod partim iniuria depreſſos ſubleuabamus & ciuitatem omnibus exhibebamus æquam,partim aliena non affectabamus,à Græcis ultro offerentibus principatum nacti ſumus. Quas arteis multo iam tēpore certe parum prudenter,ne dicam ſtulte ,contemnimus. Etenim eò dementiæ prolapſi ſunt quidam,ut iniuſticiam ſui cultoribus probroſam quidē,ſed tamen quæſtuoſam & in quotidianæ uitæ uſum accōmodam arbitrētur. At iuſticiam honeſtam quidem cenſeant,uerum parum utilem,ut quæ non tam ſui cultores,q̃ alios promouere queat. Quibus falſa planè eſt opinio,quippe ſiue opes,ſiue honeſtæ uitæ officia ,in ſumma, felicitatem acquirere ſtudeas,nihil tantum præſentis momēti attulerit,quantum uirtus,quæq́ȝ ei ſubiacent partes. Nā per ea bona,quæ in animo poſſidemus & alias commoditates,ſi quibus egemus,parare licet. Quapropter qui mētis ſuæ bona negligunt,interim & occaſiones,per quas alijs & rectius ſapere, & felicius uiuere poſſent,ſeſe negligere non aduertunt. Demiror aūt ſi quis opinetur fore,ut qui pietatem & iuſticiā colant, inq́ȝ his perſeuerare,permanereq́ȝ uelint ei peius ,quàm mali, ſint habituri. Præſertim cum illud conſtet,bonos eiuſmodi & apud deos,& apud homines plura quàm reliquos conſequi.

Nulla facultas præſtantior uirtute.

Ipſe certe

οὐκ εἰδέναι τὰς πράξεις τὰς ἐπὶ ταῦτα φερούσας, ἀλλὰ ταῖς δόξαις διαφέρειν ἀλλήλων. οἱ μὲν γὰρ ἔχουσιν ἐπιεικεῖς καὶ στοχάζεσθαι τοῦ δέοντος δυναμένας. οἱ δ᾽ ὡς οἷόν τε πλεῖστον τοῦ συμφέροντος διαμαρτανούσας. ὅπερ καὶ τῇ πόλει συμβέβηκεν. ἡμεῖς γὰρ οἰόμεθα μὲν, ἢν τὴν θάλασσαν πλέωμεν πολλαῖς τριήρεσι, καὶ βιαζώμεθα τὰς πόλεις, συντάξεις διδόναι καὶ συνέδρους δεῦρο πέμπειν, διαπράξασθαί τι τῶν δεόντων, πλεῖστον δὲ διεψεύσμεθα τῆς ἀληθείας, ὧν μὲν γὰρ ἠλπίζομεν οὐδὲν ἀποβέβηκεν. ἔχθραι δ᾽ ἡμῖν ἐξ αὐτῶν καὶ πόλεμοι καὶ δαπάναι πολλαὶ γεγόνασιν εἰκότως. καὶ γὰρ πρότερον ἐκ μὲν τῆς τοιαύτης πολυπραγμοσύνης εἰς τοὺς ἐσχάτους κινδύνους κατέστημεν. ἐκ δὲ τοῦ δικαίαν τὴν πόλιν παρέχειν καὶ βοηθεῖν τοῖς ἀδικουμένοις, καὶ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, παρ᾽ ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἐλάβομεν. ὧν νῦν ἀλογίστως καὶ λίαν εἰκῇ πολὺν ἤδη χρόνον καταφρονοῦμεν. εἰς τοῦτο γάρ τινες ἀνοίας ἐληλύθασιν, ὥσθ᾽ ὑπειλήφασι τὴν μὲν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δὲ καὶ πρὸς τὸν βίον τὸν καθ᾽ ἡμέραν συμφέρουσαν. τὴν δὲ δικαιοσύνην εὐδόκιμον μὲν, ἀλυσιτελῆ δὲ καὶ μᾶλλον δυναμένην τοὺς ἄλλους ὠφελεῖν, ἢ τοὺς ἔχοντας αὐτὴν, κακῶς εἰδότες, ὡς οὔτε πρὸς χρηματισμὸν, οὔτε πρὸς ἃ δεῖ πράττειν, οὔθ᾽ ὅλως πρὸς εὐδαιμονίαν οὐδὲν ἂν συμβάλοιτο τηλικαύτη δύναμις, ὅσον περ ἀρετὴ καὶ τὰ μέρη ταύτης. τοῖς γὰρ ἀγαθοῖς οἷς ἔχομεν ἐν τῇ ψυχῇ τούτοις κτώμεθα, καὶ τὰς ὠφελείας, ὧν δεόμενοι τυγχάνομεν. ὥσθ᾽ οἱ τῆς ἑαυτῶν διανοίας ὀλιγωροῦντες, λελήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον καὶ τοῦ βέλτιον τῶν ἄλλων πράττειν ὀλιγωροῦντες. θαυμάζω δ᾽ εἴ τις οἴεται τοὺς τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην ἀσκοῦντας καὶ καρτερεῖν καὶ μένειν ἐπὶ τούτοις ἐθέλοντας, ἔλαττον ἔχειν τῶν πονηρῶν. ἀλλ᾽ οὐχ ἡγουμένους καὶ παρὰ θεοῖς, καὶ παρὰ ἀνθρώποις πλέον οἴσεσθαι τῶν ἄλλων.

ἐγὼ

Ipſe certe in hac ſum opinione, ut ea, quibus in uitæ uſum eſt opus, bonis uel ſolis ſuppetere putem: uerum malos eius generis rebus affluere, quibus carere nō paulo ſit ſatius. Etenim illis, qui iniquitatem in precio habent, & aliena rapere, ſummū putant bonum, ſimile quiddam accidere uideo, quod & animalibus, quæ ſeſe ineſcare ſinunt. Nam tametſi principio quidem eis, quæ forte corripuerint, fruuntur, tamen haud ita multo poſt in maxima mala deuenire ſolent. At qui cum pietate & iuſticia uiuunt, tempora omnia in tuto tranſigunt, & in omnem uſq; ætatem fœlicis conſcientiæ dulceis ſpes ſentiunt. Et ſi forte hæc in ſingulis non ita uſu ueniant, tamen ut plurimum ſic cadere uidemus. Iam uero quia quod in poſterum eſt profuturum, non ita promptum ſemper eſt expedire. Cordatorū hominum fuerit, quæ ſepænumero conferunt, præ alijs eligere. Porrò omnium abſurdiſſima committunt, qui quanquam iuſticiæ ſtudium cum præclarius, tum deo gratius exiſtimant, eos tamen, qui iuſticiam ipſa uita exprimunt, miſerius, quàm qui maliciam colunt, uiuere putant. Atq; utinam quàm eſt ad manum cuiq; uirtutem laudibus uehere, tam eſſet quoq; facile, auditoribus, ut ipſis moribus eam referre ſtuderent, perſuadere. Nunc autem planè uereor ne omnia hæc fruſtra dicam. Corrupti enim ſumus ab ijs, qui nil niſi fraudes ſtruere poſſunt: quibus plebs adeo eſt contemptui, ut ſi quando bellū aliquibus inferre deſtinent, ipſi plebe adeo inconſulta pecunias exigant, interim aſſerentes operæpretium maiores hoc pacto imitari. Tum aſſerunt non committendum ut cum per ignauiam alijs riſui ſimus, & illi etiamſi imperata tributa non pendant, nihilominus tamen mare nauigēt. Hos ego lubens equidem interrogarem, quos tandem maiores ad imitandum nobis proponant? eos ne, qui bello Perſico in repub. floruerunt: an qui paulo ante bellum Peloponeſiacum ciuitatem moderabantur? Quos ſi deſignent, aliud profecto conſulunt nihil, quàm ut libertatem noſtram in ſeruitutis caſum demus.

Soli boni ſatis habent.

Nihil ſtultius quàm à ſtultis maiorū factis nolle recedere.

Sin eos

ἐγὼ μὲν γὰρ πέπεισμαι τούτους μόνους ὧν δεῖ πλεονεκτεῖν, τοὺς δ' ἄλλους
ὧν οὐ βέλτιόν ἐστιν. ὁρῶ μὲν γὰρ τοὺς μὲν τὴν ἀδικίαν προτιμῶντας καὶ τὸ λα-
βεῖν τι τῶν ἀλλοτρίων, μέγιστον ἀγαθὸν εἶναι νομίζοντας, ὅμοια πά-
σχοντας τοῖς δελεαζομένοις τῶν ζώων, καὶ κατ' ἀρχὰς μὲν ἀπολαύον-
τας ὧν ἂν λάβωσιν, ὀλίγῳ δὲ ὕστερον ἐν τοῖς μεγίστοις κακοῖς ὄντας.
τοὺς δὲ μετ' εὐσεβείας καὶ δικαιοσύνης ζῶντας, ἔν τε τοῖς πᾶσι χρόνοις
ἀσφαλῶς διάγοντας, καὶ περὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπί-
δας ἔχοντας. καὶ ταῦτ' εἰ μὴ κατὰ πάντων οὕτως εἴθισται συμβαίνειν, ἀλ-
λὰ τό γε ὡς ἐπὶ τὸ πολὺ τοῦτον γίνεται τὸν τρόπον. χρὴ δὲ τοὺς εὐφρονοῦν-
τας, ἐπειδὴ τὸ μέλλον ἀεὶ συνοίσειν οὐ καθορῶμεν, τὸ πολλάκις ὠφε-
λοῦν τοῦτο φαίνεσθαι προῃρημένους. πάντων δὲ ἀλογώτατον πεπόνθα-
σιν ὅσοι κάλλιον μὲν ἐπιτήδευμα νομίζουσιν εἶναι, καὶ θεοφιλέστερον
τὴν δικαιοσύνην τῆς ἀδικίας, χεῖρον δ' οἴονται βιώσεσθαι τοὺς ταύτῃ χρω-
μένους τῶν τὴν πονηρίαν προῃρημένων. ἐβουλόμην δ' ἂν ὅπερ πρό-
χειρόν ἐστιν ἐπαινέσαι τὴν ἀρετὴν, οὕτω καὶ ῥᾴδιον εἶναι πεῖσαι τοὺς
ἀκούοντας ἀσκεῖν αὐτήν. νῦν δὲ δέδοικα μὴ μάτην τὰ τοιαῦτα λέγω. δι-
εφθάρμεθα γὰρ πολὺν ἤδη χρόνον ὑπὸ ἀνθρώπων, οὐδὲν ἀλλ' ἢ φενακί-
ζειν δυναμένων, οἳ τοσοῦτον τοῦ πλήθους καταπεφρονήκασιν, ὥσθ' ὅταν
βουληθῶσι πόλεμον πρός τινας ἐξενεγκεῖν, αὐτοὶ χρήματα λαμβάνον-
τες, λέγειν τολμῶσιν, ὡς χρὴ τοὺς προγόνους μιμεῖσθαι, καὶ μὴ περιορᾶν
ἡμᾶς αὐτοὺς καταγελωμένους, μηδὲ τὴν θάλατταν πλέοντας
τοὺς μὴ τὰς συντάξεις ἐθέλοντας ἡμῖν ὑποτελεῖν. ἡδέως ἂν οὖν αὐ-
τῶν πυθοίμην, τίσιν ἡμᾶς τῶν προγεγενημένων ὁμοίους κελεύουσι γε-
νέσθαι. πότερον τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἢ τοῖς πρὸ τοῦ
πολέμου τοῦ Δεκελεικοῦ τὴν πόλιν διοικήσασιν. εἰ μὲν γὰρ τοῖς, οὐδὲν
ἀλλ' ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύειν.

Sin eos, qui apud Marathonem cum uictoria pugnarunt, aut ijs etiam priores putant, quid reliquum eſt, quin omnium ſint impudentiſſimi, ut qui, cum eos, qui tum reipublicæ præfuerunt, laudent, nobis tamen uiam longe ab illorum exemplo diuerſam ingredi ſuadeant: maxime cum hic non ſine periculo graui peccetur. Qua in re quid equidem faciam, incertum eſt. An quemadmodum in alijs conſueui, ita & hic, quod uerum eſt, dicam? An ne quem ex uobis offendam ueritus, cõticeſcam? Vtcunque cadat, commodiſſimum mihi uidetur de huiuſmodi rebus diſſerere. Verũtamen uideo uos minus propicios ijs, qui uos obiurgant, quàm qui malorum omnium fuerunt autores. Quod ad me attinet, pudendũ foret, ſi cui meæ ipſius gloriæ maiorem, quàm publicæ ſalutis rationem habere uiderer. Quamobrem ut meæ partes erũt ex eo orationis genere, quod ciuilibus rebus procurãdis adhibetur, nõ quæ gratiſſima ſunt, ſed ciuibus utiliſſima ſequi: ſic ueſtri habebit̃ officij, primum omnium expendere, quod morbis quidem, quibus corpuſculum hoc noſtrũ impetitur, abigendis curationes, & omnis generis medicinæ ab eius artis ſtudioſis ſunt inuẽtæ: ſed animo ægrotanti, & prauis cupiditatibus laboranti præter orationẽ, quæ peccantẽ obiurgare libere audeat, nullũ ſuppetit remedium: deinde conſiderare, ꝙ ſit ridiculũ, quo pluribus doloribus ſemel defungamur, uſturas quidẽ & medicorum ſectiones fortiter perferre, orationem autem prius auerſari quã planè comperias eiuſmodi ne ſit, quæ audienti queat prodeſſe. Atqꝫ hæc eo ſum præfatus, quod deinceps animus eſt citra metum, imò modis omnibus libere apud uos uerba facere. Quis enim aliunde huc profectus, ſi nondum noſtro contagio ſit corruptus, ſed ex improuiſo his noſtris cœptis interueniat, non arbitretur deſipere nos & inſanire? qui cum egregijs maiorum noſtrorum factis nos uenditemus, & eorum exemplis ciuitatem celebrare ſatagamus, ipſi tamen nihil, quod cũ illorum factis conueniat, imò nihil non aduerſum facimus?

εἰ δὲ τοῖς ἐν μαραθῶνι νικήσασι καὶ τοῖς πρὸ αὐτῶν γεγενημένοις, πῶς οὐχ ἁπάντων ἀναισχυντότατοι τυγχάνουσιν ὄντες, εἰ τοὺς τότε πεπολιτευμένους ἐπαινοῦντες, τἀναντία πράττειν ἐκείνοις, πείθουσιν ἡμᾶς. καὶ τοιαῦτ᾽ ἐξαμαρτάνειν περὶ ὧν καὶ ἀπορῶ τί ποιήσω. πότερα χρήσωμαι ταῖς ἀληθείαις, ὥσπερ καὶ περὶ τῶν ἄλλων, ἢ καταστείλω, δείσας τὴν πρὸς ὑμᾶς ἀπέχθειαν; δοκεῖ γάρ μοι βέλτιον εἶναι διαλεχθῆναι περὶ αὐτῶν. ὁρῶ δὲ ὑμᾶς χαλεπώτερον διατιθεμένους πρὸς τοὺς ἐπιτιμῶντας, ἢ πρὸς τοὺς αἰτίους τῶν κακῶν γεγενημένους. οὐ μὴν, ἀλλ᾽ αἰσχυνθείην ἂν εἰ φανείην μᾶλλον φροντίζων τῆς ἐμαυτοῦ δόξης, ἢ τῆς κοινῆς σωτηρίας. ἐμὸν μὲν οὖν ἔργον ἐστὶ καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πόλεως προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους, ἀλλὰ τοὺς ὠφελιμωτάτους. ὑμᾶς δὲ χρὴ, πρῶτον μὲν τοῦτο γινώσκειν, ὅτι τῶν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ θεραπεῖαι καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται. ταῖς δὲ ψυχαῖς ταῖς νοσούσαις καὶ γεμούσαις πονηρῶν ἐπιθυμιῶν, οὐδέν ἐστιν ἄλλο φάρμακον, πλὴν λόγος ὁ τολμῶν τοῖς ἁμαρτανομένοις ἐπιπλήττειν. ἔπειθ᾽ ὅτι καταγέλαστόν ἐστι τὰς μὲν καύσεις καὶ τὰς τομὰς τῶν ἰατρῶν ὑπομένειν, ἵνα πλειόνων ἀλγηδόνων ἀπαλλαγῶμεν, τοὺς δὲ λόγους ἀποδοκιμάζειν πρὶν εἰδέναι σαφῶς εἰ τοιαύτην ἔχουσι τὴν δύναμιν, ὥστε ὠφελῆσαι τοὺς ἀκούοντας. τούτου δὲ ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος, ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω ποιεῖσθαι τοὺς λόγους πρὸς ὑμᾶς. τίς γὰρ ἄλλοθεν ἐπελθὼν, καὶ μήπω συνδιεφθαρμένος ὑμῖν, ἀλλ᾽ ἐξαίφνης ἐπιστὰς τοῖς γιγνομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν, οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν. ἔχομεν, οὐδὲν δὲ τῶν αὐτοῦ ἐκείνοις πράττομεν. ἀλλὰ πᾶν τοὐναντίον.

Nam illi quidem pro Græcis contra Barbaros continua bella geſſerunt. Nos eos, qui domi è ſuis facultatibus uix uictum ſibi quæritare poterant, è barbaris euocatos in Græcos, hoc eſt, noſipſos immittimus. Illi, quo Græcorum ciuitates in libertatem aſſererent & eiſdem laborantibus ſuccurrerent, imperio ſunt dignati. Nos qui omnia ſub ſeruitutis iugum redigimus, & illis contraria facimus adhuc ſtomachamur, non alio nomine, quàm quod non æquus nobis cum illis antiquis habeatur honor: cum interim, ſiue rerum geſtarum gloria, ſiue conſiliorum opportunitate tanto ſimus ueteribus illis inferiores, quanto illi quidem pro communi Græcorum ſalute, patriæ relictæ deſiderium perferre, & cum hoſte, nunc terra, nūc mari ſunt auſi decernere. Nos autem ab ea laude tam procul abſumus, ut ne pro re quidem noſtra familiari amplificanda periculum facere ſuſtineamus. Certe omnibus imperitare uolumus, at militiæ labores perferre nolumus. Et bellum quidem in omnes, penè dixerim, homines mouemus, uerum, ut cœptum quoq; feliciter geramus, militari diſciplina non ipſi nos exercemus: quin homines alienos partim incertis ſedibus uagabundos, partim tranſfugas, partim alijs facinoribus coopertos undiq; huc confluentes conducimus. Quibus ſi quis alius amplioris mercedis ſpem faciat, eius ſtatim ſigna ſequūtur. At tamen hæc hominum ſentina adeo nobis placet, ut ſi quādo, quod non raro contingit, in liberos noſtros peccent, pœnam tamen eos, quā hoc facto cōmeruiſſent, ſubire nolimus. Sed & ſi cui res ſuas rapuerint, ſi cui uim attulerint, ſi impotēter qd fecerint, quorum crimina ad nos ſint peruentura, non ſolū nō grauiter factum ferimus, ſed interim dum eiuſmodi eos perpetraſſe accipimus ex animo gaudemus. Quin & eò ſtulticiæ progreſſi ſumus, ut tametſi illis, quæ ad uictum quotidianum pertinent, ipſi egemus, peregrinos tamen exercitus alere conemur. Tum quo communibus omnium hoſtibus mercedem

Vt graphice milites iſtos conductitios depingit.

pactam

οἱ μὲν γὰρ ὑπὲρ τῶν ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλε-
σαν. ὑμεῖς δὲ τοὺς ἐκ τῆς ἀσίας τὸν βίον ποριζομένους, ἐκεῖθεν ἀνα-
στήσαντες, ἐπὶ τοὺς ἕλληνας ἠγάγομεν. κἀκεῖνοι μὲν ἐλευθεροῦντες
τὰς πόλεις τὰς ἑλληνίδας καὶ βοηθοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠ-
ξιώθησαν. ἡμεῖς δὲ καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε πράτ-
τοντες, ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν ἐκείνοις τιμὴν ἕξομεν. οἳ το-
σοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ'
ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν ἑλλήνων σωτη-
ρίας, τήν τε πατρίδα τὴν αὑτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μαχό-
μενοι καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνίκησαν. ἡμεῖς δ' οὐδ' ὑπὲρ
τῆς ἡμετέρας αὐτῶν πλεονεξίας, κινδυνεύειν ἀξιοῦμεν. ἀλλ' ἄρχειν μὲν
ἁπάντων ζητοῦμεν, στρατεύεσθαι δ' οὐκ ἐθέλομεν. καὶ πόλεμον μὲν
μικροῦ δεῖν πρὸς ἅπαντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ τοῦτον
οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν. ἀλλὰ ἀνθρώπους τοὺς μὲν, ἀπόλιδας,
τοὺς δ' αὐτομόλους, τοὺς δὲ ἐκ τῶν ἄλλων κακουργιῶν συνερρυηκότας.
οἷς ὁπόταν τις πλείονα μισθὸν διδῷ, μετ' ἐκείνου ἐφ' ἡμᾶς ἀκο-
λουθήσουσι. ἀλλ' ὅμως οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥστε ὑπὲρ μὲν
τῶν παίδων τῶν ἡμετέρων εἴ περί τινας ἐξαμάρτοιεν, οὐκ ἂν ἐθε-
λήσαιμεν δίκας ὑποσχεῖν, ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς καὶ βί-
ας καὶ πλεονεξίας μελλόντων τῶν ἐγκλημάτων ἐφ' ἡμᾶς ἥξειν, οὐχ
ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν ὅταν ἀκούσωμεν αὐτοὺς
τοιοῦτό τι διαπραττομένους. εἰς τοῦτο δὲ μωρίας ἐληλύθαμεν, ὥσ-
τ' αὐτοὶ μὲν ἐνδεεῖς ἐσμὲν τῶν καθ' ἡμέραν, ξενοτροφεῖν δὲ ἐπικεχει-
ρήκαμεν, καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους αὐτῶν λυμαινόμεθα, καὶ
δασμολογοῦμεν ἵνα τοῖς ἁπάντων κοινοῖς ἐχθροῖς τὸν μισθὸν

pactam præſtemus,ſociorū opibus detrahimus,& tributis exigendis omnia compilamus. Porrò maioribus, non ijs ſolum, qui laudem,ſed & qui culpam meruerunt,tāto non ſumus inferiores,quanto illi,ſi quando communibus ſuffragijs bellū gerere decreuiſſent,etiamſi arx tum plena auro & argento erat tamen ſuam ipſorum uitam pro cōmunibus decretis exequēdis in periculum dare duxerūt operæprecium. Nos autem cū in tantam pecuniarum egeſtatem ſumus redacti,& tanta multitudine ciuitatē oneremus,non aliter tamen,ac magnus Perſarum rex mercenarijs exercitibus utimur. Olim quidē,ſi quādo ad naualem expeditionē claſſes inſtruerentur,peregrinos certe,& ſeruos nauium dirigendarum labori præficiebant: ciueis uero cum armis emittebant. Nunc aūt peregrinis utimur armatis,ciues naues agere cogimus. Itaq; cū in ipſum hoſtiū litus uētum eſt, ciueis quidē noſtri, qui imperium ſibi in Græcos aſſerunt,remulco ſaltem inſtructi è naue prodeunt. At cōductitij illi dubia fide homines,quales eos ſupra paucis expreſſi,non ſine graui periculo rem ferro gerunt. Iam ſi quis quæ ad ipſum ciuitatis ſtatum pertinent,recte adminiſtrari cerneret, forſan & de alijs nō ita laboraret. Nūc aūt cum res longe ſe aliter habeant,quis nō uel ob hæc iure optimo nobis indignetur? Nam cum indigenas nos,nec aliunde trāſlatos ipſi iactemus, & urbem hāc noſtram primam omnium conditā gloriemur, uel hoc nomine nos alijs omnibus reip. optime adminiſtrandæ præbere exempla cōueniebat. At nunc ipſi noſtrā peius ſanè gubernamus & perturbatius, ꝙ qui ciuitateis ſuas nup admodum cōdiderunt. Et cum nobis ipſi placeamus, ac quaſi cæteris generoſiores,ſuperbo ſpiritu turgeamus,nihilominus tamen nobilitatem hanc noſtram alijs,ſi qui uelint,minus grauate impertimus, ꝙ quenquam in ſuæ obſcuritatis conſortium recipiant uel Triballi uel Leucani. Leges quidem rogauimus plurimas,ſed harū tam paruā gerimus curam. Vno enim exēplo expreſſo, & de reliquis facile conijcere quiſq; ſibi poterit, ut cum

ἐκπορίζωμεν. τοσούτῳ δὲ χείρους ἐσμὲν τῶν προγόνων οὐ μόνον τῶν εὐδοκιμησάντων, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν εἰ πολεμεῖν πρός τινας ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς αὑτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν. ὑμεῖς δ᾽ εἰς τοσαύτην ἀπορίαν ἐληλυθότες, καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας μισθωτοῖς χρώμεθα τοῖς στρατοπέδοις. καὶ τότε μὲν εἰ τριήρεις πληροῖεν, τοὺς μὲν ξένους καὶ τοὺς δούλους ναύτας εἰσεβίβαζον, τοὺς δὲ πολίτας μεθ᾽ ὅπλων ἐξέπεμπον. νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγκάζομεν. ὥσθ᾽ ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες, ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες οἵους ὀλίγῳ πρότερον διῆλθον, μεθ᾽ ὅπλων κινδυνεύουσιν. ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν, ἄν τις ἰδὼν καλῶς διοικούμενα καὶ περὶ τῶν ἄλλων θαρρήσειεν, ἀλλ᾽ οὐκ ἂν ἐπ᾽ αὐτοῖς τούτοις μάλιστ᾽ ἀγανακτήσειεν, οἵτινες αὐτόχθονες μὲν εἶναι φαμέν, καὶ τὴν πόλιν ταύτην προτέραν οἰκισθῆναι τῶν ἄλλων, προσῆκον δὲ ὑμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγμένως πολιτεύεσθαι, χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν, τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων. καὶ σεμνυνόμεθα μὲν καὶ μέγα φρονοῦμεν ἐπὶ τῷ βέλτιον γεγονέναι τῶν ἄλλων, ῥᾷον δὲ μεταδίδομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας, ἢ Τριβαλλοὶ καὶ Λευκανοὶ τῆς αὑτῶν δυσγενείας. πλείστους δὲ τιθέμενοι νόμους, οὕτως ὀλίγον αὐτῶν φροντίζομεν. ἓν γὰρ ἀκούσαντες, γνώσεσθε καὶ περὶ τῶν ἄλλων.

ὥσπ

ut cum capitis ſupplicium ei,qui uel ſuffragia,uel iudicia pecu nia corrumpere deprehendatur ,leges decernant, nos tamen tanto ſceleri palàm obnoxios communibus ſuffragijs imperatores faciamus. Atq; adeo,ut quiſq; ciueis quamplurimos muneribus corrumpere ſuffecerit,ita maximarum rerum gubernaculis admouetur. Quanquam autem de reipublicæ ſtatu non minus quàm de totius ciuitatis ſalute ſatagamus,& populi imperium ,popularemq; libertatem, Græci δημοκρατίαν uocant,rebus tranquillis,& pacatis creſcere ,ſtabiliriq;: in bellis autem iam bis euerſam,& deperditam ſciamus ,tamen qui pacem cupiunt,tanquam imperium omnibus commune in paucorum potentiam redigere ſtudeant,ſuſpectos habemus. Qui porrò bellum inducunt,eos ut popularis libertatis tutores ſuſpicimus, & nobis bene uelle putamus. Et quamuis cum dicendi,tum agendi peritiſſimi uideri uelimus ,tamen temere adeo, & inconſiderate conſilia capimus, ut de eiſdem uno atque eodem die,non eadē tamen ſtatuamus. *Sed* quos antequam comitia ingredimur,incuſamus eoſdem ,ubi in comitia uentum fuerit ,ſuffragijs noſtris comprobamus. Porrò diſceſſione facta non ita magno temporis ſpatio interiecto,quos ante ſuffragio elegimus, denuo culpamus. Et cum Græcorum omnium ſapientiſſimi uideri uelimus, conſultoribus tamen utimur eiuſmodi,cuiuſmodi nemo non contemneret. Tum illos ipſos reipub. ſummæ præfecimus,quibus nemo rem ſuam familiarem crederet. Quodq; omnium eſt indigniſſimum,quos uno ore omnes peſſimos ciueis confitemur, eos fideliſſimos ciuitatis cuſtodes opinamur. Iam incolas tales cenſemus omnes,qualeis ſibi delegerint patronos ,& non illis nos opinionibus ſenſim indui credimus, quibus magiſtratus noſtros imbutos uidemus. Quid multis? A maiorum noſtrorum laude tantum abſumus,quantum illi quidem eoſdem,& ciuitatis magiſtratus,& belli duces fecerunt,uidelicet quod q domi populo p cōcione optime cōſulere poterit,

Hoc ferè hodie in magiſtratibus uſu uenit.

eundem

ὥς τε θανάτου τῆς ζημίας ἐπιτιθεμένης, ἤν τις ἁλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας, στρατηγοὺς χειροτονοῦμεν. καὶ τὸν πλείστους διαφθεῖραι τῶν πολιτῶν δυνηθέντα, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν, σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐχ ἧττον, ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν, εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν. πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας, ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας δυσκόλως ἔχομεν. τοὺς δὲ τὸν πόλεμον ἐμποιοῦντας, ὡς τῆς δημοκρατίας κηδομένους, εὔνους εἶναι νομίζομεν. ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες, οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταυτὰ γινώσκομεν, ἀλλ' ὧν μὲν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν. οὐ πολὺν δὲ χρόνον διαλείποντες, τοῖς ἐνταῦθα ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν πάλιν ἐπιτιμῶμεν. προσποιούμενοι δὲ σοφώτατοι τῶν ἑλλήνων εἶναι, τοιούτοις συμβούλοις χρώμεθα, ὧν οὐκ ἔστιν ὅς τις οὐκ ἂν καταφρονήσειε. καὶ τοὺς αὐτοὺς τούτους κυρίους τῶν κοινῶν ἁπάντων καθίσαμεν, οἷς οὐδεὶς ἂν τῶν ἰδίων οὐδὲν ἐπιτρέψειε. τὸ δὲ πάντων σχετλιώτατον, οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι τῶν πολιτῶν, τούτους πιστοτάτους φύλακας ἡγούμεθα τῆς πολιτείας εἶναι. καὶ τοὺς μὲν μετοίκους τοιούτους εἶναι νομίζομεν, οἵους περ ἂν τοὺς προστάτας νέμωσιν. αὐτοὶ δ' οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς προεστῶσιν ἡμῶν. τοσοῦτον δὲ διαφέρομεν τῶν προγόνων, ὅσον ἐκεῖνοι μὲν τοὺς αὐτοὺς προστάτας τῆς πόλεως ἐποιοῦντο καὶ στρατηγοὺς ᾑροῦντο. νομίζοντες τὸν ἐπὶ τοῦ βήματος τὰ βέλτιστα συμβουλεῦσαι δυνάμενον,

L τὸν αὐτὸν

eundē hunc & militiæ apud ſeſe rectiſſima quæq; ſtatuere putarint. Nos autem contra facimus. Nam quibus cōſiliarijs domi in maximarum rerum momentis utimur, eos quaſi mentē non habeant, bellorum duces creare dedignamur. At cū quibus conſilia neq; de priuatis, neq; communibus rebus cōmunicarit quiſquam, eos imperatores emittimus, perinde ac ſi foris prudentiores futuri de negocijs cū Græci nominis uniuerſi, tum præcipue noſtræ reſpu. cōſilia ſint inuenturi facilius, q̃ hic de eis, quæ à magiſtratibus proponuntur. Atq; hæc dixerim non de omnibus, ſed tantum huic culpæ obnoxijs. Hic ſi quæ per eiuſmodi errores in repu. hactenus perturbate cōtigerūt accuratius perſequi coner, ſat ſcio, reliqua dici pars me deficeret. Sed fortaſſe quiſpiam ex his, qui huic obiurgationi palàm ſunt obnoxij, cōmotus, ſic interroget, quid ergo? ſi tā parum conſilio ualemus, interim tamen res noſtræ ſunt ſaluæ, & potentiam nulla alia ciuitate minorē obtinemus? Huic ego ſanè reſponderim, aliena nos frui inſania, & hoſtes nobis eſſe nihilo plus, q̃ ipſi ſimus, ſapientiores. Nam ſi poſt eam pugnam, qua Lacedæmonios uicerūt Thebani, & Peloponeſo cæteriſq; Græcis libertatē, ac leges ſuas reſtituerāt, quieuiſſent, noſq; non minus tum quàm nunc perturbate rempu. adminiſtraſſemus, certe futurum erat, ut neq; huic obiectioni eſſet locus, & nobis re ipſa foret compertum, quantò ſit ſatius contentū ſuis agere modeſte, q̃ præ maiorum fame nihil non tentare. Nunc autem in eo cardine res uertitur, ut noſtrarum rerum ſalus à Thebanis, & uiciſſim Thebanæ rei ſumma à nobis pendeat. Siquidem, ſi quando res ſit in periculo, nos illorum, illi uiciſſim noſtro gaudent auxilio. Quare ſi cordati eſſemus, pecunias quoq; noſtras mutuo in ipſas populi conciones cōmunes exhiberemus. Hac enim uia utri ſæpius collegerint, alterius populi rem promouerint. Sed qui minutula eiuſmodi ad calculum uocare norunt, eos quidem deceret non in hoſtium errore, ſed ſua ipſorum uirtute & prudentia, ſalutis ſpem ponere.

Hoc illud eſt quo ſibi urbo die pleriq; & magiſtratus & principes placent.

Nam

τὴν αὐτὴν τούτων ἄριστ' ἂν βουλεύσασθαι καὶ καθ' αὑτὴν δυναμένην. ἡμεῖς δὲ τοὐναντίον τούτων ποιοῦμεν. οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμβούλοις χρώμεθα, τούτους μὲν οὐκ ἀξιοῦμεν στρατηγοὺς χειροτονεῖν, ὡς νοῦν οὐκ ἔχοντας. οἷς δὲ οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων, οὔτε περὶ τῶν κοινῶν συμβουλεύσαιτο, τούτους δὲ αὐτοκράτορας ἐκπέμπομεν, ὡς ἐκεῖ σοφωτέρους ἐσομένους. καὶ ῥᾷον βουλευσομένους περὶ τῶν ἑλληνικῶν πραγμάτων καὶ πολιτικῶν, ἢ περὶ τῶν ἐνθάδε προτιθεμένων. λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς λεγομένοις ὄντων. ἐπιλείποι δ' ἂν μετὰ λοιπὸν μέρος τῆς ἡμέρας εἰ πάσας τὰς πλημμελείας τὰς ἐν τοῖς πράγμασι γεγενημένας ἐξετάζειν ἐπιχειροίην. τάχ' οὖν ἄν τις τῶν σφόδρα τοῖς λεγομένοις ἐνόχων ὄντων ἀγανακτήσας ἐρωτήσειε, πῶς οὖν εἴπερ οὕτω κακῶς βουλευόμεθα, σωζόμεθα; καὶ δύναμιν οὐδεμιᾶς πόλεως ἐλάττω κεκτημένοι τυγχάνομεν; ἐγὼ δὲ πρὸς ταῦτα ἂν ἀποκριναίμην, ὅτι τοὺς ἀντιπάλους ἔχομεν οὐδὲν βέλτιον ἡμῶν φρονοῦντας. εἰ γὰρ μετὰ τὴν μάχην ἣν ἐνίκησαν θηβαῖοι λακεδαιμονίους, ἐκεῖνοι μὲν ἐλευθερώσαντες τὴν πελοπόννησον, καὶ τοὺς ἄλλους ἕλληνας αὐτονόμους ποιήσαντες ἡσυχίαν εἶχον, ἡμεῖς δὲ ταῦτα ἐξημαρτάνομεν, οὔτ' ἂν οὗτος εἶχε ποιήσασθαι ταύτην τὴν ἐρώτησιν, ἡμεῖς τ' ἂν ἔγνωμεν ὅσῳ κρεῖττόν ἐστι τὸ σωφρονεῖν τοῦ πολυπραγμονεῖν. νῦν δ' ἐνταῦθα περιέστηκε τὰ πράγματα, ὥστε θηβαῖοι μὲν ἡμᾶς σώζουσιν, ἡμεῖς δὲ θηβαίους, καὶ συμμάχους. ἐκεῖνοι μὲν ἡμᾶς ποιοῦσιν, ἡμεῖς δὲ ἐκείνους. ὥστ' εἰ νοῦν ἔχομεν ἀλλήλοις ἂν εἰς τὰς ἐκκλησίας ἀργύριον παρέχομεν. ὁπότεροι γὰρ ἂν πλεονάκις συνέλθωσιν, οὗτοι τοὺς ἐναντίους ἄμεινον πράττειν ποιοῦσι. χρὴ δὲ τοὺς καὶ μικρὰ λογίζεσθαι δυναμένους, οὐκ ἐν τοῖς τῶν ἐχθρῶν ἁμαρτήμασι τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, ἀλλ' ἐν τοῖς αὐτῶν πράγμασι καὶ ταῖς αὐτῶν διανοίαις.

Nam quicquid id eſt cõmodi,quod ex illorum imperitia nobis accedit,hoc omne illis forte fortuna reſipientibus decedere,& permutatione facta in diuerſum abire poterit. Quod uero ex noſtra nobis uirtute contigit ſtabilius fuerit, & diutius utiq; nobis permanſerit. Itaq; ijs,qui eiuſmodi excuſationũ latebras ſibi quærunt,reſpondere nõ admodum fuerit difficile. Sed ſi ex cordatioribus quiſpiam acrius inſtet, uera quidẽ me dicere,& quæ in re pub.parum recte fiant,iure optimo reprehendere. Verum nihilominus qui beneuole corripiãt, eorum eſſe officium non ſolum,quæ perperam fiant, accuſare, ſed & emendandi uiam monſtrare,uidelicet quibus fugiendis, quibusq; amplectendis ſimul ad meliorem mentem queamus redire,ſimul tot errorũ turbis explicari. Hæc ſanè oratio me deſtituere poſſet facultate reſpondendi, nõ quæ uera ſunt & rei pub. utilia,ſed ueſtris animis grata. Cæterum quãdo aperte uobiſcum agere & ſtatui,& iam incepi,non cunctandum & hoc loco,quid ſentiam aperire. Itaq; quibus rebus eum,qui ſit futurus beatus,præditum oporteat,nempe pietate,temperantia,iuſticia,reliquiſq; uirtutum generibus,paulo ante diximus. Sed ut breuiſſimo compendio ad ea liceat peruenire, ueriſſimum fuerit,quod iam ſum dicturus: tametſi uobis forſan ubi audieritis durum,& graue uidebitur,imò longe,lateq; ab aliorũ ſententia alienum. Etenim ſi ſemel maris imperium affectare deſiuerimus,fore arbitrarer,ut ciuitatẽ hanc noſtrã felicius habitaremus,tum nos ipſi meliores euaderemus. Breuiter omia nobis negocia ex animi ſententia procederent. Quãdo hæc proferendi imperij cupiditas ſola eſt,quæ nos in has turbas coniecit,& eã rempu.ſubuertit,in qua maiores noſtri degẽtes Græcorum omniũ feliciſſimi fuerũt. Quin fons eſt malorũ omniũ & eorum quæ nos iam premunt,& quæ per nos in alios deriuantur. Iam uero quanq; non ignoro quàm ſit arduum,eum, qui magiſtratum,rem omnibus gratiſſimam & nulli non uel ſumma ope expetitam accuſet,uideri tolerabile aliquid dicere,

Grauis omnino admonitio

Obiurgantis officium.

Malorum maxima cauſa proferendi imperij cupiditas.

tamen

τὸ μὲν γὰρ διὰ τὴν ἐκείνων ἀμαθίαν συμβαῖνον ἡμῖν ἀγαθὸν, τυχὸν ἂν παύσαιτο καὶ λάβοι μεταβολήν. τὸ δὲ δι' ἡμᾶς αὐτοὺς γενόμενον, βεβαίως ἂν ἔχοι, καὶ μᾶλλον παραμείνειεν ἡμῖν. πρὸς μὲν οὖν τοὺς εἰκῆ τὰς ὑπολήψεις ποιουμένους, οὐ χαλεπὸν ἀντειπεῖν. εἰ δέ τις μοι παραστὰς τῶν ἐπιεικέστερον διακειμένων, ἀληθῆ μὲν λέγειν με προσομολογήσειεν, καὶ προσηκόντως ἐπιτιμᾶν τοῖς γιγνομένοις, δίκαιον δὲ εἶναι φαίη τοὺς ἐπ' εὐνοίᾳ νουθετοῦντας, μὴ μόνον κατηγορεῖν τῶν πεπραγμένων, ἀλλὰ καὶ συμβουλεύειν, ποίων ἀπεχόμενοι, καὶ τίνων ὀρεγόμενοι παυσαίμεθ' ἂν ταύτην ἔχοντες τὴν γνώμην, καὶ τοιαῦτα ἐξαμαρτάνοντες, οὗτος ὁ λόγος ἀπορεῖν ἄν με ποιήσειεν ἀποκρίσεως οὐκ ἀληθοῦς, οὐδὲ συμφερούσης, ἀλλὰ ἀρεσκούσης ὑμῖν. οὐ μὴν, ἀλλ' ἐπειδήπερ ἀποκεκαλυμμένως ὥρμημαι λέγειν, οὐκ ἀποκνητέον ἀποφήνασθαι, καὶ περὶ τούτων. ἃ μὲν οὖν ὑπάρχειν δεῖ τοῖς μέλλουσιν εὐδαιμονήσειν, τήν τ' εὐσέβειαν, καὶ τὴν σωφροσύνην, καὶ τὴν δικαιοσύνην, καὶ τὴν ἄλλην ἀρετὴν, ὀλίγον πρότερον εἰρήκαμεν. ὡς δ' ἂν τάχιστα πρὸς τὸ τοιοῦτοι γενέσθαι παιδευθείημεν, ἀληθὲς μέν ἐστι τὸ ῥηθησόμενον. ἴσως δ' ἂν ἀκούσασιν ὑμῖν, δεινὸν εἶναι δόξειεν, καὶ παρὰ πολὺ τῶν ἄλλων διηλλαγμένον διανοίας. ἐγὼ γὰρ ἡγοῦμαι καὶ τὴν πόλιν ἡμᾶς ἄμεινον οἰκήσειν, καὶ βελτίους αὐτοὺς ἔσεσθαι, καὶ πρὸς ἁπάσας τὰς πράξεις ἐπιδώσειν, ἢν παυσώμεθα τῆς ἀρχῆς τῆς κατὰ θάλασσαν. αὕτη γάρ ἐστιν, ἡ καὶ νῦν εἰς ταραχὴν ἡμᾶς καθιστᾶσα, καὶ τὴν δημοκρατίαν ἐκείνην καταλύσασα. μεθ' ἧς οἱ πρόγονοι ζῶντες, εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν, καὶ σχεδὸν ἁπάντων τῶν κακῶν αἰτία, ὧν αὐτοί τε ἔχομεν, καὶ τοῖς ἄλλοις παρέχομεν. διὰ μὲν οὖν ὅτι χαλεπόν ἐστι δυναστείας ὑπὸ πάντων ἐρωμένης, καὶ περιμαχήτου γεγενημένης κατηγοροῦντα, δοκεῖν ἀνεκτόν τι λέγειν.

tamen cum iam ante multorum orationes ueras quidem, ſed tamen offenſæ proximas,& parũ ſuaues ſuſtinueritis, precor & hæc noſtra interim toleretis, nec ſtatim meam inſaniã damnetis: quaſi ipſe apud uos de rebus inopinatis dicere inſtituerim, de quibus tamen nihil ueri, nihil certi afferre queam. Imò uniuerſis, opinor, hoc manifeſtum reddam, imperium, quod affectamus, primum neq; iure in nos competere: deinde ad id parandum uires noſtras nõ eſſe pares. Poſtremo ut maxime habeamus & ius,& uires, neq; tamen id nobis conferre. Principio quod eius ius nobis non competat, quia iam ante à uobis ſum edoctus, nunc uiciſſim minori negocio uos edocere poſſum. Nam quum eandem ditionem Lacedæmonij haberent, quæſo uos, quot uerba prodegimus, iam iniuſtum eorũ imperium incuſando, iam æquũ eſſe, ut Græci omnes in libertate uiuentes ſuis legibus uterent̃, iactãdo? Deinde quas Græcorum ciuitates in auxilium, quod pro eis liberandis tum cogebatur, non ſolicitauimus? Tum ad magnum illum Perſarũ regem quot legationes emiſimus, quæ exponerẽt quàm eſſet iniquum, quamq; parum utile, unicam ciuitatem Græcis uniuerſis imperare? Nec ante belli finem fecimus terra mariq; periclitãdo, quàm Lacedæmonij in fœdera quibus Græcis libertas redderetur, facienda conſentirent. Itaq; non per omnia iuſtum eſſe, ut potentiores inferioribus imperent, partim tẽporibus illis ipſi decreuimus, partim in hac reipub. qualicunq; forma apparet. Porrò quod ad eam ditionem recuperandam nõ ſufficiant uires, paucis, opinor, oſtẽdi poterit. Nã ſi ſemel paratam decies mille talentis tueri non poteramus, qui nam perditam in tanta rerum omnium egeſtate recuperaremus? maxime cum iam moribus ſimus præditi non illis, quibus id imperij olim peperimus, ſed quibus partum amiſimus. Iam hinc certe aperte mihi colligere poſſe uidemini eam ditionem, etiamſi ultro offeratur, nobis non acceptandam. *Sed* priuſquam *hic* progrediar uiſum eſt paucula quædam præfari. Vereor enim

Vt feliciter proponit.

ὅμως δ' ἐπειδήπερ ὑπεμείνατε καὶ τοὺς ἄλλους λόγους, ἀληθεῖς μὲν ὄντας, φιλαπεχθήμονας δὲ, καὶ τούτων ὑμᾶς ἀνέχεσθαι δέομαι, καὶ μὴ καταγνῶναί μου τοσαύτην μανίαν, ὡς ἄρα ἐγὼ προελόμην διαλεχθῆναι πρὸς ὑμᾶς περὶ πραγμάτων οὕτω παραδόξων, εἰ μή τι λέγειν ἀληθὲς εἶχον περὶ αὐτῶν. νῦν δ' οἶμαι φανερὸν ποιήσειν ἅπασιν, ὡς οὔτε δικαίας ἀρχῆς ἐπιθυμοῦμεν, οὔτε γενέσθαι δυνατῆς, οὔτε συμφερούσης ἡμῖν. ὅτι μὲν οὖν οὐ δικαίας, παρ' ὑμῶν μαθὼν, ὑμᾶς ἔχω διδάσκειν. ὅτε γὰρ λακεδαιμόνιοι ταύτην εἶχον τὴν δύναμιν, ποίους λόγους οὐκ ἀνηλώσαμεν, κατηγοροῦντες μὲν τῆς ἐκείνων ἀρχῆς, διεξιόντες δὲ, ὡς δίκαιόν ἐστιν αὐτονόμους εἶναι τοὺς ἕλληνας. τίνας δὲ τῶν πόλεων τῶν ἐλλογίμων, οὐ παρεκαλέσαμεν ἐπὶ τὴν συμμαχίαν, τὴν ὑπὲρ τούτων συστᾶσαν. πόσας δὲ πρεσβείας, ὡς βασιλέα τὸν μέγαν ἀπεστείλαμεν, διδασκούσας αὐτὸν, ὡς οὔτε δίκαιόν ἐστιν, οὔτε συμφέρον, μίαν πόλιν κυρίαν εἶναι τῶν ἑλλήνων. οὐ πρότερον δὲ πολεμοῦντες ἐπαυσάμεθα, καὶ κινδυνεύοντες καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν, πρὶν ἠθέλησαν λακεδαιμόνιοι ποιήσασθαι τὰς συνθήκας τὰς περὶ τῆς αὐτονομίας. ὅτι μὲν οὖν οὐ δίκαιόν ἐστι τοὺς κρείττους τῶν ἡττόνων ἄρχειν, ἐν ἐκείνοις τε τοῖς χρόνοις ἐτυγχάνομεν ἐγνωκότες, καὶ νῦν ἐπὶ τῆς πολιτείας τῆς παρ' ἡμῖν καθεστώσης. ὡς δ' οὐ ἂν δυνηθείημεν τὴν ἀρχὴν ταύτην κατασχέσθαι, ταχέως οἶμαι δηλώσειν. ἣν γὰρ μετὰ μυρίων ταλάντων, οὐχ οἷοί τε ἦμεν διαφυλάξαι, πῶς ἂν ταύτην ἐκ τῆς παρούσης ἀπορίας κτήσασθαι δυνηθείημεν; ἄλλως τε καὶ χρώμενοι τοῖς ἤθεσιν, οὐκ οἷς ἐλάβομεν, ἀλλ' οἷς ἀπολέσαμεν αὐτήν. ὡς τοίνυν οὐδὲ διδομένην δέξασθαι τῇ πόλει συμφέρει, δοκεῖτέ μοι τάχιστ' ἂν ἐκεῖθεν καταμαθεῖν. μᾶλλον δὲ καὶ περὶ τούτων βούλομαι μικρὰ προειπεῖν. δέδοικα

γὰρ μὴ

enim ne dũ crebro adeo uos obiurgo,uidear aliquibus ipſum ſenatũ dedita opera accuſare. Profecto ſi de rebus noſtris ad eum modum apud alios uerba facerem,crimẽ hoc utiq; in me hæreret: nunc autem apud uoſipſos dico,non huc ſpectans, ut uos apud alios in crimen uocem,ſed ut à noxijs eiuſmodi cœptis deducam,& uos ipſi pacẽ,qua tota hæc oratio nititur, cum in ipſam ciuitatem,tum Græciam omnem reducatis. Atqui neceſſe eſt utrunq;,& qui amice monet,ſimul qui nocẽdi ſtudio accuſat,quod ad uerba attinet,ſimilia loqui,ſed ipſa re, atq; animis inter ſeſe quàm longiſſime diſſidere. Quamobrẽ erga eos,qui eadem dicunt,auditorem non eodem modo decet affici. Quin eos,qui nocendi ſtudio male dicunt,tanq̃ rei pub.inimicos conuenit odiſſe,qui uero iuuandi animo caſtigant,laudare,optimosq; ciues iudicare. Tum ex his ipſis,cæteris præſtare putandi,qui luculentiſſime oſtẽdere,& uelut oculis ſubijcere queant,cum quæ in agendis rebus ſint fugiẽda,tũ calamitates,quæ ex malis moribus in remp.ſcaturiant. Quod ſi feceritis,celerrime qs apud uos cõſequeretur,ut eis,quæ noxia ſunt,poſthabitis,meliora ſectaremini. De uerborum ergo aſperitate,deq; his,quæ hactenus diximus,quæq; deinceps dicturi ſumus,apud uos hoc modo ueniam præfari uoluimus.

Non quid ſed quo animo dicatur attendẽdum.

Nunc autem aliud,unde ſum digreſſus,initium faciam. Equidem quàm ſit parum utile uobis maris imperium uel oblatum accipere,hinc uos pulcherrime colligere poſſe dicebam,ſi expenderemus,primum quo nam modo reſpub.ſit adminiſtrata,qualiq; in ſtatu fuerit prius,quàm hanc potentiã nacti eſſemus:deinde in quas anguſtias ſenſim ſit dilapſa res noſtra,ex quo imperium in mare habuimus.Nam ſi hæc inter ſeſe cõpoſita præſenti animo inſpexeritis,quot & quantorũ malorũ cauſa ciuitati fuerit,cognoſcetis. Certe reſpub.quæ tũ erat,ea quæ poſtea eſt inducta,tanto ſuperior florentiorq;.fuit,quãto Ariſtides,Themiſtocles,& Miltiades uiri erant Hyperbulo & Cleophonte,eisq; qui nunc reip. habenas tractant,meliores.

Quod

γὰρ μὴ διὰ τὸ πολλάκις ἐπιτιμᾶν, δόξω τισὶ προαιρεῖσθαι τῆς πόλεως κατηγορεῖν. ἐγὼ δὲ εἰ μὲν πρὸς ἄλλους τινὰς οὕτως ἐπεχείρουν διεξιέναι περὶ τῶν πραγμάτων, εἰκότως ἂν εἶχον τὴν αἰτίαν ταύτην. νῦν δὲ πρὸς ὑμᾶς ποιοῦμαι τοὺς λόγους, οὐ διαβάλλειν πρὸς ἑτέρους ἐπιθυμῶν, ἀλλ' αὐτοὺς ὑμᾶς βουλόμενος παῦσαι τῶν τοιούτων ἔργων, καὶ τὴν εἰρήνην περὶ ἧς ἅπας ὁ λόγος ἐστὶ βέβαιον, καὶ τὴν πόλιν καὶ τοὺς ἕλληνας τοὺς ἄλλους ἀγαγεῖν. ἀνάγκη δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας, τοῖς μὲν λόγοις, χρῆσθαι παραπλησίοις, τὰς δὲ δυνάμεις, ἔχειν ἀλλήλαις ὡς οἷόν τε ἐναντιωτάτας. ὥστε περὶ τῶν ταυτὰ λεγόντων, οὐ προσήκει τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν, ἀλλὰ τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας, μισεῖν ὡς κακόνους ὄντας τῇ πόλει. τοὺς δ' ἐπ' ὠφελείᾳ νουθετοῦντας, ἐπαινεῖν καὶ βελτίους τῶν πολιτῶν νομίζειν. καὶ τούτων αὐτῶν μάλιστα τὸν ἐναργέστατα δυνάμενον δηλῶσαι, τάς τε πονηρὰς τῶν πράξεων, καὶ τὰς συμφορὰς τὰς ἀπ' αὐτῶν γιγνομένας. οὕτω γὰρ ἂν τάχιστα ποιήσειεν ὑμᾶς μισήσαντας ἃ δεῖ, βελτιόνων ἐπιθυμῆσαι πραγμάτων. ὑπὲρ μὲν οὖν τῆς τῶν λόγων τραχύτητος, καὶ τῶν εἰρημένων καὶ τῶν ἐνθάδε ῥηθήσεσθαι μελλόντων, ταῦτ' ἔχω λέγειν πρὸς ὑμᾶς, ὅθεν δ' ἀπέλιπον, πάλιν ποιήσομαι τὴν ἀρχήν. ἔφασκον γὰρ ἐκεῖθεν κάλλιστ' ἂν ὑμᾶς καταμαθεῖν, ὡς οὐ συμφέρει λαβεῖν τὴν κατὰ θάλατταν ἀρχήν, εἰ σκέψαισθε τίνα τρόπον ἡ πόλις διῴκητο, πρὶν τὴν δύναμιν ταύτην κτήσασθαι, καὶ πῶς ἐπειδὴ κατέσχεν αὐτήν. ἢν γὰρ ταῦτα παράλληλα τῇ διανοίᾳ θεωρήσητε, γνώσεσθε πόσων κακῶν αἰτία τῇ πόλει γέγονεν. ἡ μὲν τοίνυν πολιτεία, τοσούτῳ βελτίων ἦν καὶ κρείττων ἡ τότε, τῆς ὕστερον κατασταθείσης, ὅσῳ ἀριστείδης καὶ θεμιστοκλῆς καὶ μιλτιάδης, ἄνδρες ἀμείνους ἦσαν ὑπερβόλου καὶ κλεοφῶντος, καὶ τῶν νῦν δημηγορούντων.

Quòd ſi ad populum, qui tum ciuitatem tenebat, cogitatione conuertamini, inuenietis non qualem hodie deſidia, egeſtate, & uana ſpe plenum, ſed eiuſmodi, qui in pugnis ſua manu omneis, qui regionem hanc inuadebant, uincere potuerint, quiq; periculis pro communi patria Græcia ſubeundis fortiſſimorum militum dona ab imperatoribus emeruerint: tum fide adeo bona, ut ei ſe in manum ultro dederent ciuitates pleræq; omnes. At his noſtris ſuccedentibus, immodica potentia, qua per ſtulticiam abutebantur, nos cõiecit in hanc licentiã, quam nemo ſanè laudaret. Pro uictoria porrò, quam ab hoſtibus illi reportarunt olim, ſic ciues inſtituit, ut neq; ſub ipſis urbis mœnibus hoſtibus occurrere audeant. At pro ſociorum erga maiores noſtros beneuolentia, & ſtudio, próque gloria, quam ei dabant alij Græci omnes, eò odij peruentum eſt, ut parum abfuerit quin ipſa noſtra ciuitas direpta fuiſſet, niſi Lacedæmonios, qui denuo aduerſum nos bella gerebant, magis propicios, quàm eos qui nobis ſocij fuerant, ſenſiſſemus. Quibus equidem quod male nobis uoluerint, non admodum uitio dederim, quando non uoluntarij, ſed laceſſiti, ac multis, magniſq; malis à nobis affecti hunc animum in nos induerunt. Quis enim patrum noſtrorum inſolentiam perferre potuiſſet, qui ex uniuerſa Græcia deſidioſiſſimum quenq;, & omni ſcelerum genere coopertum colligere ſolebant, atque hominum fece claſſibus inſtructis, reliquis Græcis bella inferebant? Atque ad eum modum optimos quoſque in alijs ciuitatibus habitanteis expellebant, & eorum bona peſſimis quibusque diſtribuerunt. Cæterum ſi quæ temporibus illis facta ſunt accuratius auderem perſequi, futurum forſan eſſet, ut uos quidem de cæteris conſideratius conſuleretis, ipſe uero calumniam uix effugerem. Etenim pro more habetis eorum, quæ perperam fiunt, non tam autores, quàm incuſatores odiſſe. Ergo cum hoc animo ſitis præditi, uereor, ne dum beneficijs uos demereri ſtudeo, mihi ipſe mali aliquid accerſam.

τὸν δὲ δῆμον εὑρήσετε τὸν τότε πολιτευόμενον, οὐκ ἀργίας, οὐδ' ἀπορίας οὐδ' ἐλπίδων κενῶν ὄντα μεστόν, ἀλλὰ νικᾶν μὲν δυνάμενον ἐν ταῖς μάχαις πάντας τοὺς εἰς τὴν χώραν εἰσβάλλοντας. ἀριστείων δὲ ἀξιούμενον ἐν τοῖς ὑπὲρ τῆς Ἑλλάδος κινδύνοις, οὕτω δὲ πιστευόμενον, ὥστε τὰς πλείστας αὐτῷ τῶν πόλεων ἑκούσας ἐγχειρίζειν σφᾶς αὐτάς. τούτων δ' ὑπαρχόντων, ἀντὶ μὲν τῆς πολιτείας τῆς παρὰ πᾶσιν εὐδοκιμούσης, ἐπὶ τοιαύτην ἀκολασίαν ἡ δύναμις ἡμᾶς αὕτη προήγαγεν, ἣν οὐδεὶς ἂν τῶν ἀνθρώπων ἐπαινέσειεν. ἀντὶ δὲ τοῦ νικᾶν τοὺς ἐπιστρατεύοντας, οὕτω τοὺς πολίτας ἐπαίδευσεν, ὥστε μηδὲ πρὸ τῶν τειχῶν τολμᾶν ἐπεξιέναι τοῖς πολεμίοις. ἀντὶ δὲ τῆς εὐνοίας τῆς παρὰ τῶν συμμάχων αὐτοῖς ὑπαρχούσης, καὶ τῆς δόξης τῆς παρὰ τῶν ἄλλων Ἑλλήνων, εἰς τοσοῦτον μῖσος κατέστησεν, ὥστε παρὰ μικρὸν ἐλθεῖν, ἐξανδραποδισθῆναι τὴν πόλιν, εἰ μὴ Λακεδαιμονίων τῶν ἐξ ἀρχῆς πολεμούντων εὐνουστέρων ἐτύχομεν, ἢ τῶν πρότερον ἡμῖν συμμάχων ὄντων, οἷς οὐκ ἂν δικαίως ἐγκαλοῖμεν, ὅτι χαλεπῶς πρὸς ἡμᾶς διετέθησαν. οὐ γὰρ ὑπάρχοντες, ἀλλ' ἀμυνόμενοι, καὶ πολλὰ καὶ δεινὰ παθόντες, τοιαύτην γνώμην ἔσχον περὶ ἡμᾶς. τίς γὰρ ἂν ὑπέμεινε τὴν ἀσέλγειαν τῶν πατέρων τῶν ἡμετέρων, οἳ συνάγοντες ἐξ ἁπάσης τῆς Ἑλλάδος τοὺς ἀργοτάτους, καὶ τοὺς ἁπασῶν τῶν πονηριῶν μετέχοντας, πληροῦντες τούτων τὰς τριήρεις, ἀπηχθάνοντο τοῖς Ἕλλησι, καὶ τοὺς μὲν βελτίστους τῶν ἐν ταῖς ἄλλαις πόλεσιν ἐξέβαλλον, τοῖς δὲ πονηροτάτοις τῶν Ἑλλήνων τἀκείνων διένεμον. ἀλλὰ γὰρ εἰ τολμήσαιμι περὶ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις γενομένων ἀκριβῶς διελθεῖν, ὑμᾶς μὲν ἴσως ἂν ποιήσαιμι βέλτιον βουλεύσασθαι περὶ τῶν ἄλλων, αὐτὸς δ' ἂν διαβληθείην. εἰώθατε γὰρ μισεῖν, οὐχ οὕτω τοὺς αἰτίους τῶν ἁμαρτημάτων, ὡς τοὺς κατηγοροῦντας αὐτῶν. τοιαύτην οὖν ὑμῶν γνώμην ἐχόντων, δέδοικα, μὴ πειρώμενος ὑμᾶς εὐεργετεῖν, αὐτὸς ἀπολαύσω τι φλαῦρον.

Attamen ab his,quæ apud animum ſtatui,non omnino deſi/ſtam. Certe quæ quidem ueſtris animis maximum ſunt allatu ra dolorem,prætermittam quæ uero patrum noſtrorum ſtulti ciam docere uos poterint,eorum inferam mentionẽ. Nã qua/ſi dedita opera rationem inuenerunt,qua omniũ maxime odi/oſos ſe facerent,adeo ut pecuniã,quæ forte ex tributis ſuper/eſſet,per talenta diſtractã in Dionyſijs apud Orcheſtram po/pulo diuidendam decreuerint. At ubi iam plenũ erat theatrũ, aliud quiddam excogitarunt,nempe eorum qui bello cecidiſ/ſent,liberos inducebant ex ærario publico nutriendos,ſeſe per hoc utriſq; & ſocijs,& Græcis reliquis oſtentantes: illis quidem quanta facultatum ſuarũ precia mercenarijs militibus ſibi pe/periſſent: his uero quanta pupillorum,quos è publico nutri/rent,eſſet multitudo: tũ,calamitates in quas propterea,quod plus cæteris habere ſtuderent,incidiſſent. Atq; hæc dum face rent & ipſi ciuitatem ſcilicet promouebant,& multi,qui parũ mente ualebant,eam per hoc beatam prædicabant. Itaq; acci/dit ut dum opum fulgorem mirantur,ſibiq; hac gratia placẽt, nihil eorum,quæ poſtea eſſent euẽtura proſpicerent,uidelicet quod opes per iniuriam aliunde in ciuitatem conuectæ & pri ſtinas noſtras fortunas unà ſecum fuerant perdituræ. Etenim ſuas ipſorum familiares copias adeo negligenter curabant, & alienas facultates affectabant,ut quãuis Lacedæmonij hoſtes hanc patriam inuaderent,etiam propugnaculo illo Decelicò iam erecto,ipſi tamen claſſem contra Siculos inſtruerent,nec puderet,modo in eos qui nunquam aliquo in nos commiſſo peccarunt,exercitum ducerent, patriam hoſtibus diripien/dam deſerere. Quin eò dementiæ ſunt prolapſi,ut cum ſubur bia ſua non tenerent,totius tamen Italiæ,Siciliæ,ac Carthagi/nis imperia ſibi pollicerentur. Porrò ſtulticia mortalibus om/nibus tanto fuerunt ſuperiores,quanto alios quidem omneis mala ſua & modeſtiores & prudentiores faciunt. Illi uero tot calamitatibus ne tantillum quidem facti ſunt emendatiores.

Sed enim

οὐ μὴν ἀποστήσομαι παντάπασιν ὧν διενοήθην, ἀλλὰ τὰ μὲν πικρότατα, καὶ μάλιστ' ἂν ὑμᾶς λυπήσοντα, παραλείψω. μνησθήσομαι δὲ τούτων μόνον, ἐξ ὧν γνώσεσθε τὴν ἄνοιαν τῶν τότε πολιτευομένων. οὕτω γὰρ ἀκριβῶς εὕρισκον ἐξ ὧν ἄνθρωποι μάλιστ' ἂν μισηθεῖεν, ὥστ' ἐψηφίσαντο τὸ περιγιγνόμενον ἐκ τῶν φόρων ἀργύριον διελόντες κατὰ τάλαντον, εἰς τὴν ὀρχήστραν τοῖς Διονυσίοις εἰσφέρειν, ἐπειδὰν πλῆρες ᾖ τὸ θέατρον. καὶ τοῦτ' ἐποίουν, καὶ παρεισῆγον τοὺς παῖδας τῶν ἐν τῷ πολέμῳ τετελευτηκότων. ἀμφοτέροις ἐπιδεικνῦντες, τοῖς μὲν συμμάχοις, τὰς τιμὰς τῆς οὐσίας αὐτῶν ὑπὸ μισθωτῶν εἰσφερομένας, τοῖς δ' ἄλλοις Ἕλλησι, τὸ πλῆθος τῶν ὀρφανῶν, καὶ τὰς συμφορὰς τὰς διὰ τὴν πλεονεξίαν ταύτην γιγνομένας, καὶ ταῦτα δρῶντες, αὐτοί τε τὴν πόλιν εὐδαιμόνιζον, καὶ πολλοὶ τῶν νοῦν οὐκ ἐχόντων, ἐμακάριζον αὐτήν. τῶν μὲν συμβήσεσθαι διὰ ταῦτα μελλόντων, οὐδεμίαν ποιούμενοι πρόνοιαν, τὸν δὲ πλοῦτον θαυμάζοντες καὶ ζηλοῦντες, ὃς ἀδίκως εἰς τὴν πόλιν εἰσελθὼν, καὶ τὸν δικαίως ὑπάρξαντα διὰ ταχέων ἔμελλε προσαπολεῖν. εἰς τοῦτο γὰρ κατέστησαν τῆς μὲν οἰκείων ἀμελείας, τῆς δ' ἀλλοτρίων ἐπιθυμίας, ὥστε Λακεδαιμονίων ἐμβεβληκότων εἰς τὴν χώραν, καὶ τοῦ τείχους ἤδη τοῦ Δεκελεικοῦ συνεστηκότος, εἰς Σικελίαν τριήρεις ἐπλήρουν, καὶ οὐκ ᾐσχύνοντο τὴν πατρίδα τεμνομένην καὶ πορθουμένην περιορῶντες, ἐπὶ δὲ τοὺς οὐδὲν πώποτε εἰς ἡμᾶς ἐξαμαρτάνοντας, στρατιὰς ἐκπέμποντες. ἀλλ' εἰς τοῦτ' ἀφροσύνης ἦλθον, ὥστε τῶν προαστείων τῶν οἰκείων οὐ κρατοῦντες, Ἰταλίας καὶ Σικελίας καὶ Καρχηδόνος ἄρξειν προσεδόκησαν. τοσοῦτον δὲ διήνεγκαν ἀνοίᾳ πάντων ἀνθρώπων, ὥστε τοὺς μὲν ἄλλους αἱ συμφοραὶ συστέλλουσι, καὶ ποιοῦσι σωφρονεστέρους, ἐκεῖνοι δ' οὐδὲν ὑπὲρ τούτων ἐπαιδεύθησαν.

Sed enim interea, dum infelix illud maris imperiũ tenuerũt, in mala & plura & maiora ceciderunt, quàm omni ſeculorum memoria ciuitati acciderint. Etenim, ut è multis pauca recenſeam, triremes ducentæ, quas in Aegyptum duximus unà cũ ipſis uectoribus interierunt: circa Cyprum autem centum & quinquaginta. In Ponto decem milia armatorum, partim ſuorum, partim ſociorũ perdiderunt: at in Siculis milites quidem quadragies mille, triremes autẽ quadraginta ſupra ducẽtas: poſtremo in Helleſponto triremes itidẽ ducentas. Porrò naues, quas nunc decem, nunc quinq;, nũc pluresis perdidimus: & milites, quorũ iam milleni iam biſmilleni ceciderũt, quis certo numero cõprehenderit? Ac uero tot, & tãtis cladibus ſubinde recurrentibus uix per ociũ licebat ſingulis annis ciuiũ, qui bello cæſi deſiderabãtur, funera celebrari. Ad quos ludos Græci multi partim uicini, partim remotius habitantes cõmeabant, non ut mortuos unà nobiſcum lugerẽt, ſed miſeriarũ noſtrarũ ſpectaculo ſuos oculos oblectarent. Et ne ſic tandẽ ſenſerunt ſtolidi ſe ſimul, & publica ſepulchra ciuibus indigenis, & ſimul tribus & rationaria quibus magiſtratuum nomina inſcribuntur alienigenis implere. Iã quanta ſit eorũ, qui his malis ſuccubuerunt multitudo, hic uel maxime quis poterit colligere, quod illuſtriſſimorum uirorum familias, ac domos, quæ tyrannicos illos tumultus, bellumq; Perſicum effugerunt, eius imperij, quod nunc captamus tempore emortuas, ac funditus euerſas inuenimus: ut ſi de reliquis conſiderando huc uelut ad exẽplar reſpicere uelis, uideas penè ꝑmutatos ad unũ omneis. Atqui ciuitatem cõuenit exiſtimare felicem, nõ quæ ciueis ꝙ plurimos ex omni hominũ genere citra delectũ collectos habeat, ſed potius, quæ maiori cura nobilitatẽ eorũ, qui primi ciuitatẽ habitarint, ſtudet cõſeruare. Tũ uiros admirari decet, neq; q ꝑ occaſionem tyrannidẽ occupent, neq; qui potentiã iuſto maiorem habeant, ſed qui etiamſi maximis honoribus ſunt digni, tamẽ qualeſcunque honores ſibi à populo delatos boni conſulant.

Quæ ciuitas felix.

Hæc enim

καί τοι πλείοσι καὶ μείζοσι κακοῖς περιέπεσον ἐπὶ τῆς ἀρχῆς ταύτης, τῶν ἐν ἅπαντι τῷ χρόνῳ τῇ πόλει γεγενημένων. εἰς αἴγυπτον μὲν γε διακόσιαι πλεύσασαι τριήρεις, αὐτοῖς πληρώμασι διεφθάρησαν. περὶ δὲ κύπρον πεντήκοντα καὶ ἑκατόν. ἐν δὲ τῷ πόντῳ, μυρίους δ' ὁπλίτας αὑτῶν καὶ τῶν συμμάχων ἀπώλεσαν. ἐν σικελίᾳ δὲ, τέτταρας μυριάδας καὶ τριήρεις τετταράκοντα καὶ διακοσίας. τὸ δὲ τελευταῖον ἐν ἑλλησπόντῳ διακοσίας. τὰς δὲ κατὰ δέκα καὶ πέντε καὶ πλείους τούτων ἀπολλυμένας, καὶ τοὺς κατὰ χιλίους καὶ δισχιλίους ἀποθνήσκοντας, τίς ἂν ἐξαριθμήσειε; πλὴν ἓν ἦν τούτων τῶν ἐγκυκλίων ταφὰς ποιεῖσθαι καθ' ἕκαστον ἐνιαυτὸν, εἰς ἃς πολλοὶ καὶ τῶν ἀστυγειτόνων καὶ τῶν ἄλλων ἑλλήνων ἐφοίτων οὐ συμπενθήσοντες τοὺς τεθνεῶτας, ἀλλ' ἐφησθησόμενοι ταῖς ὑμετέραις συμφοραῖς. τελευτήσαντες δ' ἔλαθον σφᾶς αὐτοὺς, τοὺς μὲν τάφους τοὺς δημοσίους τῶν πολιτῶν ἐμπλήσαντες, τὰς δὲ φατρίας καὶ τὰ γραμματεῖα τὰ ληξιαρχικὰ, τῶν οὐδὲν τῇ πόλει προσηκόντων. γνοίη δ' ἄν τις ἐκεῖθεν μάλιστα τὸ πλῆθος τῶν ἀπολλυμένων. τὰ γὰρ γένη τῶν ἀνδρῶν τῶν ὀνομαστοτάτων, καὶ τοὺς οἴκους τοὺς μεγίστους, οἳ καὶ τὰς τυραννικὰς στάσεις, καὶ τὸν περσικὸν πόλεμον διέφυγον, εὑρήσομεν ἐπὶ τῆς ἀρχῆς ἧς ἐπιθυμοῦμεν ἀναστάτους γεγενημένους. ὥστ' εἴ τις σκοπεῖσθαι βούλοιτο περὶ τῶν ἄλλων, ὥσπερ πρὸς παράδειγμα τοῦτ' ἀναφέρων, φανείημεν ἂν μικροῦ δεῖν ἀντηλλαγμένοι. καί τοι χρὴ πόλιν μὲν εὐδαιμονίζειν, μὴ τὴν ἐξ ἁπάντων ἀνθρώπων εἰκῆ πολλοὺς πολίτας ἀθροίζουσαν, ἀλλὰ τὴν τὸ γένος τῶν ἐξ ἀρχῆς τὴν πόλιν οἰκησάντων μᾶλλον τῶν ἄλλων διασῴζουσαν. ἄνδρας δὲ ζηλοῦν, μὴ τοὺς τὰς τυραννίδας κατέχοντας, μηδὲ τοὺς μείζω δυναστείας τοῦ δικαίου κεκτημένους, ἀλλὰ τοὺς ἀξίους μὲν ὄντας τῆς μεγίστης τιμῆς, στέργοντας δ' ἐπὶ ταῖς ὑπὸ τοῦ πλήθους διδομέναις δωρεαῖς.

ταύτης

Quæ opt. potentia.

Hæc enim eſt potētia,qua ſola,neq; princeps,neq; ſenatus ul/
lam aut honeſtiorem,aut ſtabiliorem,aut etiam pluris æſtimā
dam poterit conſequi,q̄ cū illo qui belli Perſici tēpore in rep.
floruerunt,haberent,nō quemadmodū nos nunc latronū &
prædonum exemplo ſic degebant,ut iam immodica rerū co/
pia affluerent,iam frumenti penuria laborarent ,iā obſidionis
diſcrimine premerentur,breuiter in ſummis malis uerſarētur.
Verum quod ad uictum quotidianū attinet,neq; egeſtate la/
borabant,neq; luxu diffluebant.Porrò in reipu. gubernandæ
ſeueritate,iuſticiaq; & item uirtutibus eiuſmodi alijs,inter ſeſe
pulcherrimo certaminis genere cōtendebant. Quibus rebus
ſunt cōſecuti,ut ætatē ſuā ſuauius longe,q̄ cæteri,peragerent.
Has ueterū arteis,quia poſteri neglexerūt nō imperare ,ſed ty
rannidem exercere cœperūt.Quæ duo tametſi eōdē recidere
uidētur,lōgiſſimo tamē interuallo inter ſeſe diſſidēt. Nam ut
principis eſt officiū ſuis ipſius curis & ſtudijs ſubditorū ſtatū
reddere feliciorē,ita tyrannis mos eſt ciuiū laboribus,& malis
ocium ſibi,& uoluptatē parare.Atqui neceſſe eſt,qui eiuſmo/
di res conantur,& in tyrānicas calamitates incidere ,atq; eiſdē
retaliari malis,quibus ipſi alios afficere ſtuduerunt.Id quod &
ciuitati accidit.Etenim pro eo,quod aliorū arces noſtris præſi
dijs occupare ueteres ſolebāt,maiores noſtri hoſtes ſuæ ipſorū
dominos factos conſpexerunt.At quod olim hoſtiū liberos à
parentum complexu abductos obſides capiebamus,pro eo ci
ues multi coacti ſunt ſuos per obſidionem peius q̄ eis conue
nit,inſtituere,educareq;.Tum aūt cū olim alienos agros colu/
erint patribus noſtris per hoſtiū incurſus ,ſuos multis iā annis
ne uiſere quidē licuit. Quam ob rem ſiquis nos roget an tan/
tuli temporis imperium,tot ac tantis ciuitatis incōmodis eme
re parati ſimus,quis utiq; huic aſſentiret,niſi qui forſan ſit mē
te planè captus,ut neq; ſacerdotū,neq; parentū ,neq; liberorū,
breuiter nullius gerat curam,ſed imperiū ſuo tantū ſeculo du
raturum ſpectet , cuius ſententiam ſequi ſit indigniſſimum.

Tyranni & principis diſcrimen.

Quin

ταύτην δ' ἐξουσίαν οὐδεὶς, οὔτε ἀνὴρ, οὔτε πόλις λαβεῖν ἂν δύναιτο σπουδαιοτέραν, οὐδὲ ἀσφαλεστέραν, οὐδὲ πλείονος ἀξίαν. ἣν οἱ περὶ τὰ περσικὰ γενόμενοι σχόντες, οὐχ ὁμοίως τοῖς λῃσταῖς ἐβίωσαν. τοτὲ μὲν πλείω τῶν ἱκανῶν ἔχοντες, τοτὲ δὲ σιτοδείαις καὶ πολιορκίαις, καὶ τοῖς μεγίστοις κακοῖς κατεστῶτες. ἀλλὰ περὶ μὲν τὴν τροφὴν τὴν καθ' ἡμέραν, οὔτ' ἐν ἐνδείαις, οὔτ' ἐν ὑπερβολαῖς ὄντες. ἐπὶ δὲ τῇ τῆς πολιτείας δικαιοσύνῃ καὶ ταῖς ἀρεταῖς ταῖς ἑαυτῶν φιλοτιμούμενοι, καὶ τὸν βίον ἥδιον τῶν ἄλλων διάγοντες. ὧν ἀμελήσαντες οἱ γενόμενοι μετ' ἐκείνους, οὐκ ἄρχειν, ἀλλὰ τυραννεῖν ἐπεχείρησαν. ἃ δοκεῖ μὲν τὴν αὐτὴν ἔχειν δύναμιν, πλεῖστον δ' ἀλλήλων κεχώρισται. τῶν μὲν γὰρ ἀρχόντων ἔργον ἐστὶ, τοὺς ἀρχομένους ταῖς ἑαυτῶν ἐπιμελείαις ποιεῖν εὐδαιμονεστέρους, τοῖς δὲ τυράννοις ἔθος καθέστηκε, τοῖς τῶν ἄλλων πόνοις καὶ κακοῖς, αὑτοῖς ἡδονὰς παρασκευάζειν. ἀνάγκη δὲ τοὺς τοιούτοις ἔργοις ἐπιχειροῦντας, τυραννικαῖς καὶ ταῖς συμφοραῖς περιπίπτειν, καὶ τοιαῦτα πάσχειν, οἷά περ ἂν καὶ τοὺς ἄλλους δράσωσιν. ἃ καὶ τῇ πόλει συνέπεσεν. ἀντὶ μὲν γὰρ τοῦ φρουρεῖν τὰς τῶν ἄλλων ἀκροπόλεις, τῆς αὑτῶν ἐπεῖδον τοὺς πολεμίους κυρίους γενομένους. ἀντὶ δὲ τοῦ παῖδας ὁμήρους λαμβάνειν, ἀποσπῶντες ἀπὸ πατέρων καὶ μητέρων, πολλοὶ τῶν πολιτῶν ἠναγκάσθησαν τοὺς αὑτῶν ἐν πολιορκίᾳ χεῖρον παιδεύειν καὶ τρέφειν, ἢ προσῆκεν αὐτοῖς. ἀντὶ δὲ τοῦ γεωργεῖν τὰς χώρας τὰς ἀλλοτρίας, πολλῶν ἐτῶν οὐδ' ἰδεῖν αὐτοῖς ἐξεγένετο τὴν αὑτῶν. ὥς τε εἴ τις ἡμᾶς ἐρωτήσειεν, εἰ δεξαίμεθ' ἂν τοσοῦτον χρόνον ἄρξαντες, τοιαῦτα πάσχουσαν τὴν πόλιν ἰδεῖν, τίς ἂν ὁμολογήσειε. πλὴν εἴ τις παντάπασιν ἀπονενοημένος ἐστὶ, καὶ μήθ' ἱερῶν, μήτε γονέων, μήτε παίδων, μήτ' ἄλλου μηδ' ἑνὸς φροντίζοι, πλὴν τοῦ χρόνου μόνον τοῦ καθ' ἑαυτόν. ὧν οὐκ ἄξιον τὴν διάνοιαν ζηλοῦν.

Quin eos magis æmulari conuenit, qui omnium earum rerum cura ſoliciti nihil minus pro communi omnium gloria, quàm propria elaborant, quicꝗ, ſi detur optio, malint cum iuſticia modicas facultates, quàm per iniuſticiam ſummas opes. Etenim quia eiuſmodi uiros ſe reipub. præſtabant noſtri maiores, & ciuitatem poſteris feliciſſimam tradiderunt, & uirtutum ſuarum memoriam immortalem reliquerunt. Ex quibus utracꝗ hæc diſcere perfacile eſt. Primum, quod hæc noſtra regio uiros alijs præſtantiores alere poteſt: deinde quod imperium illud, quod uocant, nam in re nihil aliud eſt, quàm calamitas, in hoc uelut natum eſt, ut quicunꝗ id amplectâtur, eos peiores faciat. Cuius rei maximum eſt indiciũ, quod non modo nos, ſed & Lacedæmoniorum ciuitatẽ ita corrupit, ut hi, qui illorum uirtutes laudibus ferre conſueuerant, nõ amplius in orationem aſſumere uere queant, nos quidem ob immodicam populi libertatem, rerum ſucceſſu abuſos: at Lacedæmonios ſi eam potentiam nacti fuiſſent per eã occaſionem, tum ſeſe, tum alios felices facere potuiſſe. Ac citius quidem & lõge minore negocio tam malum eſſe imperij illius uelut genium oſtenderint, ut rempub. quam ſeptingentis iam annis turbatã nec periculis, nec calamitatibus uidit nemo, eam non ita tẽpore longo labefactarit, & ruinæ proximã fecerit. Nam pro honeſtis ſtudijs, quæ apud eos olim erant in precio, nunc priuatos quidem reddidit totos iniquos, deſides, licentia ſolutos, auaros. Sed communes ciuitatis magiſtratus ſociorum quidẽ contemptus, aliena uero rapiendi libido inuaſit. Tum iureiurandi ac fœderum religio ab his pro nihilo duci cœpit. Etenim iniurijs, quibus Græcos uexarunt, tanto noſtros præcelluerunt, ut ad priora facinora, ſeditiones, & cædes adiecerint. Quas ob res perpetuas, nec unquam è memoria delendas inimicitias inter ſe gerunt. Et cum aliâs in eiuſmodi rebus ſuſcipiẽdis cauti, & religioſi fuerunt, eius imperij tempore inconſiderate adeo, & cupide bellicis periculis ſeſe exponebãt, ut neꝗ à ſocijs,

neꝗ ab

ἀλλὰ πολὺ μᾶλλον τῶν πολλῶν προνοίαν ἀπάντων τῶν πιστῶν περιποιημένων, καὶ μηδὲν ἧττον ὑπὲρ τῆς κοινῆς δόξης ἢ τῆς ἰδίας φιλοτιμουμένων, καὶ προαιρουμένων μέτριον βίον μετὰ δικαιοσύνης μᾶλλον, ἢ πλοῦτον μέγαν μετὰ ἀδικίας. καὶ γὰρ οἱ πρόγονοι τοιούτους αὐτοὺς παρέχοντες, τήν τε πόλιν εὐδαιμονεστάτην τοῖς ἐπιγινομένοις παρέδοσαν, καὶ τῆς αὐτῶν ἀρετῆς, ἀθάνατον τὴν μνήμην κατέλιπον. ἐξ ὧν ἀμφότερα ῥᾴδιόν ἐστι καταμαθεῖν, καὶ τὴν χώραν ἡμῶν ὅτι δύναται τρέφειν ἄνδρας ἀμείνους τῶν ἄλλων, καὶ τὴν καλουμένην μὲν ἀρχὴν, οὖσαν δὲ συμφορὰν, ὅτι πέφυκε χείρους ἅπαντας ποιεῖν τοὺς χρωμένους αὐτῇ. μέγιστον δὲ τεκμήριον. οὐ γὰρ μόνον ἡμᾶς, ἀλλὰ καὶ τὴν λακεδαιμονίων πόλιν, διέφθειρεν οὕτως, ὥστε τοῖς εἰθισμένοις ἐπαινεῖν τὰς ἐκείνων ἀρετὰς, οὐχ οἷόν τ' ἐστὶν εἰπεῖν τοῦτον τὸν λόγον, ὡς ἡμεῖς μὲν διὰ τὸ δημοκρατεῖσθαι κακῶς ἐχρησάμεθα τοῖς πράγμασιν. οἱ δὲ λακεδαιμόνιοι ταύτην τὴν δύναμιν εἰ παρέλαβον, εὐδαίμονας ἂν καὶ τοὺς ἄλλους καὶ σφᾶς αὐτοὺς ἐποίησαν. πολὺ γὰρ θᾶττον ἐν ἐκείνοις ἐπεδείξατο τὴν φύσιν τὴν αὑτῆς. τὴν γὰρ πολιτείαν, ἣν ἑπτακοσίοις ἔτεσιν, οὐδεὶς οἶδεν οὔθ' ὑπὸ κινδύνων, οὔθ' ὑπὸ συμφορῶν κινηθεῖσαν, ταύτην ἐν ὀλίγῳ χρόνῳ σαλευθῆναι, καὶ λυθῆναι παρὰ μικρὸν ἐποίησεν. ἀντὶ γὰρ τῶν καθεστώτων παρ' αὐτοῖς ἐπιτηδευμάτων, τοὺς μὲν ἰδιώτας ἐνέπλησεν ἀδικίας, ῥᾳθυμίας, ἀνομίας, φιλαργυρίας, τὸ δὲ κοινὸν τῆς πόλεως, ὑπεροψίας μὲν τῶν συμμάχων, ἐπιθυμίας δὲ, τῶν ἀλλοτρίων. ὀλιγωρίας δὲ, τῶν ὅρκων καὶ τῶν συνθηκῶν. τοσοῦτον γὰρ ὑπερεβάλοντο τοὺς ἡμετέρους, ταῖς εἰς τοὺς ἕλληνας ἁμαρτήμασι, ὅσον πρὸς τοῖς πρότερον ὑπάρχουσι, σφαγὰς καὶ στάσεις ἐν ταῖς πόλεσιν ἐποίησαν. ἐξ ὧν ἀειμνήστους τὰς ἔχθρας πρὸς ἀλλήλους ἕξουσιν. οὕτω δὲ φιλοπολέμως καὶ φιλοκινδύνως διετέθησαν, τὸν ἄλλον χρόνον πρὸς τὰ τοιαῦτα πεφυλαγμένοι μᾶλλον τῶν ἄλλων ἔχοντες, ὥστε οὐδὲ τῶν συμμάχων.

neq; ab his, quibus maximis erant beneficijs deuincti manus abſtinuerint. Quin etiã ubi iã imperiũ nacti eſſent, Perſarum regi pepercerũt, q ſibi in belli cõtra nos ſuſcepti ſumptus plus ꝗ quinquies mille talẽta ſuppeditarat: neq; Chijs, q ex ſocijs oĩbus naualis prælij pericula prõptiſſimi ſubierũt: neq; Thebanis, tametſi hi pedeſtribus copijs præcipuũ robur addiderunt. Ac Thebanos quidẽ ſtatim ſunt adorti, uerũ in regẽ, Clearchum, ac Strathiã immiſerũt. Chiorũ uero primarios è ſedibus ſuis fugarunt, eorũq; triremes è portu extractas ſecũ abduxerunt. Neq; uero tot ac tanta in amicos cõmittere eis fuerat ſatis, ſed eiſdẽ fermè tẽporibus & Epirũ uaſtabãt, inſulaſq; circũiacẽtes iniurijs uexabãt. Sed & euerſis Italiæ Siciliæq; rebus pub. tyrãnos præficiebãt. Nec huius mali flãma à Pelononeſo abſtinuit: quin eã inſulã ſeditionũ ac bellorũ procellis cõcuſſit. In ſumma quã ciuitatẽ bello nõ tẽtarũt, aut qbus uim nõ attulerunt? An nõ Eleis ditionis partẽ detraxerũt? Nõ Corinthiorũ fines diſtraxerũt? Nõ Mantineſes è ſu is ſedibus fugatos diſperſerunt? Nõ expugnarũt & Phliaſios? Poſtremo nõ & inuaſerunt Argiuos? Certe nõ ante quieuerũt, ꝗ alios quidẽ omneis afflixiſſent, ſibiipſis uero cladẽ illã apud Leuctra cõparaſſent. quã cædẽ qui eis malorũ omniũ cauſã faciũt, uehementer ſanè errãt. Neq; eñ per eã cladẽ in ſociorũ odiũ puenere, ſed iniuriarũ nomine, quas ante exercuerunt, & tum infeliciter pugnarunt, & poſtea ſuã ipſorũ patriã in periculũ cõiecerũt. Porrò cauſas tribuere oportet nõ malis, quæ in fine obueniũt, ſed ipſis primis peccatis, per quæ in eiuſmodi infelices exitus tandem quaſi per gradus deuenitur. Quare ſi quis calamitatum omnium fontẽ eis tum inuentũ diceret, cũ maris imperium captare cœpiſſent, hic omniũ fuerit uerisſimus. Siquidẽ ex eo tẽpore Lacedæmoniorũ potentia degenerare cœpit. Nam propterea quod in eorum repub. cui unus ſummus erat princeps, omnia recto fiebant ordine, pariterq; ciues militari diſciplina ad fortitudinẽ exercebãtur, imperio marino facile ſunt potiti.

Verum

οὐδὲ τῶν εὐεργετῶν ἀπέσχοντο τῶν σφετέρων αὐτῶν, ἀλλὰ βασιλέως μὲν αὐτοῖς εἰς τὸν πρὸς ἡμᾶς πόλεμον πλέον ἢ πεντακόσια τάλαντα παρασχόντος, χίων δὲ προθυμότατα πάντων τῶν συμμάχων συγκινδυνευσάντων τῷ ναυτικῷ, θηβαίων δὲ μεγίστην εἰς τὸ πεζὸν συμβαλομένων, οὐκ ἔφθησαν τὴν ἀρχὴν κατασχόντες, καὶ θηβαίοις μὲν, εὐθὺς ἐπεβούλευσαν. ἐπὶ δὲ τὸν βασιλέα, κλέαρχον καὶ στρατιὰν ἐξέπεμψαν. χίων δὲ τοὺς πρώτους μὲν τῶν πολιτῶν ἐφυγάδευσαν, τὰς δὲ τριήρεις, ἐκ τῶν νεωρίων ἐξελκύσαντες ἁπάσας, ᾤχοντο λαβόντες. οὐκ ἤρκεσεν δ᾽ αὐτοῖς ταῦτα ἐξαμαρτεῖν, ἀλλὰ περὶ τοὺς αὐτοὺς χρόνους, ἐπόρθουν μὲν τὴν ἤπειρον. ὕβριζον δὲ, τὰς νήσους, ἀνῄρουν δὲ τὰς ἐν ἰταλίᾳ καὶ σικελίᾳ πολιτείας, καὶ τυράννους καθίστασαν. ἐλυμαίνοντο δὲ τὴν πελοπόννησον, καὶ μεστὴν πολέμων καὶ στάσεων ἐποίησαν. ἐπὶ ποίαν γὰρ τῶν πόλεων οὐκ ἐστράτευσαν, ἢ περὶ τίνας αὐτῶν οὐκ ἐξήμαρτον; οὐκ ἠλείων μὲν μέρος τι τῆς χώρας ἀφείλοντο, τὴν δὲ γῆν τῶν κορινθίων ἔτεμον; μαντινέας δὲ διῴκισαν; φλιασίους δὲ ἐξεπολιόρκησαν; εἰς δὲ τὴν ἀργείων ἐνέβαλον; οὐδὲν δὲ ἐπαύοντο, τοὺς μὲν ἄλλους κακῶς ποιοῦντες, αὑτοῖς δὲ τὴν ἧτταν τὴν ἐν λεύκτροις παρασκευάζοντες, ἥν φασί τινες αἰτίαν γενέσθαι τῇ σπάρτῃ τῶν κακῶν, οὐκ ἀληθῆ λέγοντες. οὐ γὰρ διὰ ταύτην ὑπὸ τῶν συμμάχων ἐμισήθησαν, ἀλλὰ διὰ τὰς ὕβρεις τὰς ἐν τοῖς ἔμπροσθεν χρόνοις, καὶ ταύτην ἡττήθησαν, καὶ περὶ τῆς αὐτῶν ἐκινδύνευσαν. χρὴ δὲ τὰς αἰτίας ἐπιφέρειν, οὐ τοῖς κακοῖς τοῖς ἐπὶ τῇ τελευτῇ γιγνομένοις, ἀλλὰ τοῖς πρώτοις τῶν ἁμαρτημάτων. ἐξ ὧν ἐπὶ τὴν τελευτὴν ταύτην κατηνέχθησαν, ὥστε πολὺ ἄν τις ἀληθέστερα τυγχάνοι λέγων. εἰ φαίη τότε τὴν ἀρχὴν αὐτοῖς γεγενῆσθαι τῶν συμφορῶν, ὅτε τὴν ἀρχὴν τῆς θαλάττης παρελάμβανον. ἐκτῶντο γὰρ δύναμιν οὐδὲν ὁμοίαν τῇ πρότερον ὑπαρχούσῃ. διὰ μὲν γὰρ τὴν κατὰ γῆν ἡγεμονίαν εὐταξίαν, καὶ τὴν καρτερίαν τὴν ἐν αὐτῇ μελετομένην, ῥᾳδίως τῆς κατὰ θάλατταν ἀρχῆς ἐπεκράτησαν.

Verum cum per imperij tempus licentia diffluerent, non magno negocio honore tum imperij, tũ principatus ſui ſunt exuti. Neq; enim leges, quas à maioribus acceperunt, amplius ſeruabant, neq; in priſtinis permanebant moribus. Sed cũ quicquid liberet, hoc etiam licere ſibi putarent, in maximam rerũ perturbationem ſe ipſi coniecerunt. Nec perſpexerũt immodica illa potentia, quanq; eam ambiunt omnes, q; ſit res lubrica, q; à mente alienet ſui cupidos, quodq; natura ſimilis eſt meretricibus, quæ ſpectatoribus amorem quidem ſui inſtillant, ſed eos irretitos miſere perdunt. Sanè quod per omnia ſint ſimilia, eandemq; uim habeant, multis exemplis uobis eſt oſtenſum. Si quidem, qui potentia plus cæteris ualuerunt, eos uideas in maximas ſemper incidiſſe calamitates. Et ut à nobis ac Lacedæmonijs ſumam initium, an non hæ ciuitates, quæ ante modeſtiſſime gubernabantur, & ſummam habebant gloriam, poſteaquam potẽtiam illam immodicam & maris imperium nactæ ſunt, ex æquo retrocedere cœperũt? Certe quemadmodum, qui eiſdem cupiditatibus laborant, eiſdem quoq; morbis ſunt obnoxij: ita noſtri & Lacedæmonij, quoniam eandẽ uiam ſunt ingreſſi, & ſimiliter errarunt, ac per hoc tandem in idem præcipitium deuenerunt. Et nos quidem cum ſociorũ omnium in nos odiũ exaſperaſſemus & libertas noſtra in ſeruitutis periculum eſſet adducta, Lacedæmoniorũ auxilio ſeruati ſumus. Illi uero cum in eorum excidium conſpiraſſent omnes, ipſiq; ad nos confugiſſent, per nos ſalutem ſibi inuenerunt. Et adhuc, ſi dijs placet, laudare oportebit imperiũ, quod adeo infelices habet exitus? Quin potius execramur, & modis omnibus fugimus, quod utrãq; ciuitatẽ multa adeo grauia q; perpulit tum facere, tũ pati? Iam uero q̃d antehac homines nõ aduerterint illã maris ditionẽ habẽtibus, tãtorũ eẽ malorũ fontẽ, quodq; eius imperij gratia & à nobis, & à Lacedæmonijs eſt pugnatũ, nõ admodũ mirũ uideri debet: quando bonã mortalium partem in rerum delectu hallucinari deprehendas

Cuiuſmodi res ſit immodica potẽtia.

Bona pars hominũ in rerũ delectu errat.

tum plures

διὰ δὲ τὴν ἀκολασίαν τὴν ὑπὸ τῆς ἀρχῆς αὐτοῖς γεγενημένην, ταχέως ἀπ' ἐκείνης τῆς ἡγεμονίας ἐξερρήθησαν. οὐ γὰρ ἔτι τοὺς νόμους ἐφύλαττον, οὓς παρὰ τῶν προγόνων παρέλαβον, οὐδ' ἐν τοῖς ἤθεσιν ἀνέμενον, οἷς πρότερον εἶχον. ἀλλ' ὑπολαμβάνοντες ἐξεῖναι ποιεῖν αὐτοῖς, ὅτι ἂν βούλωνται, εἰς πολλὴν ταραχὴν κατέστησαν. οὐ γὰρ ᾔδεσαν τὴν ἐξουσίαν ἧς πάντες εὔχονται τυχεῖν, ὡς δύσχρηστός ἐστιν, οὐδ' ὡς παραφρονεῖν ποιεῖ τοὺς ἀγαπῶντας αὐτήν, οὐδ' ὅτι τὴν φύσιν ὁμοίαν ἔχει ταῖς ἑταίραις, ταῖς ἐρᾶν μὲν ἑαυτῶν ποιούσαις, τοὺς δὲ χρωμένους ἀπολλυούσαις. καίτοι φανερῶς ἐπιδέδεικται ταύτην ἔχουσα τὴν δύναμιν. τοὺς γὰρ ἐν πλείσταις ἐξουσίαις γεγενημένους, ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας ἀρξάμενος ἀφ' ἡμῶν, καὶ λακεδαιμονίων. αὗται γὰρ αἱ πόλεις καὶ πολιτευόμεναι πρότερον σωφρονέστατα, καὶ δόξαν ἔχουσαι καλλίστην, ἐπειδὴ ταύτης ἔτυχον, καὶ τὴν ἀρχὴν ἔλαβον, οὐδὲν ἀλλήλων διήνεγκαν. ἀλλ' ὥσπερ προσήκει τοὺς ὑπὸ τῶν αὐτῶν ἐπιθυμιῶν καὶ τῆς αὐτῆς νόσου διεφθαρμένους, καὶ ταῖς πράξεσι ταῖς αὐταῖς ἐπεχείρησαν, καὶ τοῖς αὐτοῖς ἁμαρτήμασι παραπλησίως ἐχρήσαντο, καὶ τὸ τελευταῖον, ὁμοίως ταῖς συμφοραῖς περιέπεσον. ἡμεῖς τε γὰρ μισηθέντες ὑπὸ τῶν συμμάχων, καὶ περὶ ἀνδραποδισμοῦ κινδυνεύσαντες, ὑπὸ λακεδαιμονίων ἐσώθημεν. ἐκεῖνοί τε πάντων αὐτοὺς ἀπολέσαι βουληθέντων, ἐφ' ἡμᾶς καταφυγόντες, δι' ἡμῶν τῆς σωτηρίας ἔτυχον. καίτοι πῶς χρὴ τὴν τοιαύτην ἀρχὴν ἐπαινεῖν, τὴν τὰς τελευτὰς οὕτω πονηρὰς ἔχουσαν, πῶς δ' οὐ μισεῖν καὶ φεύγειν τὴν οὕτω δεινὰ καὶ πολλὰ ποιεῖν ἀμφοτέρας τὰς πόλεις ἐπάρασαν, καὶ παθεῖν ἀναγκάσασαν. οὐκ ἄξιον δὲ θαυμάζειν, εἰ τὸν ἄλλον χρόνον ἐλάνθανεν ἅπαντας τοσούτων οὖσα κακῶν αἰτία τοῖς ἔχουσιν αὐτήν. οὐδ' εἰ περιμάχητος ἦν ὑφ' ἡμῶν καὶ λακεδαιμονίων. εὑρήσετε γὰρ τοὺς πλείστους τῶν ἀνθρώπων περὶ τὰς αἱρέσεις τῶν πραγμάτων ἁμαρτάνοντας

tum plures quidem malorum, quàm bonorum cupidos. Ad hæc reperire licet qui pro inimicis melius, quàm pro ſeſe conſilium captent. Id quod tam in maximis, quàm minimis licet obſeruare. Quid enim non ad eum modum eſt factum? Principio noſipſi, an non ea facere ſtatuimus, per quæ Lacedæmonijs totius Græciæ obtigit imperium? Illi uero perperam adeo res ſuas ſunt moderati, ut nos haud ita multo poſt denuo eorum ſalutem nobis aſſeruerimus: deinde Atticorum immodicum habendi ſtudium ciuitates noſtras in Lacedæmoniorũ ius tranſtulit: ut & Lacedæmoniorum iniuria ferox ſuas ciuitates Atticorum ditionem ſubire coëgit. Poſtremo magiſtratuum, qui populo in democratia præerant uitio factum eſt, ut populus ipſe ὀλιγαρχίαν, in qua quadringenti rerum ſummæ præeſſent, maluerint. Porrò triginta tyrannorum in ſubditos libido effecit, ut uel tyrannici ſatellitij oppreſſoribus facti ſimus magis populares.

Olim nulli populo erant gratiores, ꝙ qui tyrannorum ſtipatores interemerunt.

Sed quod ad minora illa, & quotidianæ uitæ rationem attinet, multos ſanè recenſere quis poſſet, qui edulijs ac ſtudijs eiuſmodi gaudent, quæ tum corpori, tum animo detrimentum adferunt. At, quæ utrique & corpori & animo fuerant profutura, ea moleſta, parumque ſalubria putant. Tum eos iudicant conſtantes, qui in his, tametſi malis, permanſerint. Itaque ſi ex his in quibus ſemper uiuitur, quæque maiori ſunt curæ, peiora plures ſibi eligunt: quid mirum ſi de totius maris imperio, de quo nihil unquam penſiculatius eſt cogitatum, hallucinantur, & inter ſeſe bello certant? Iam in ciuitatibus, quæ unius imperio parent, uidetis, quàm ſint multi principatum ambientes, quorum quiſque, ut uoti fiat compos, nihil non tum facere, tum pati paratus eſt. Attamen eam conditionem, quæſo uos, quæ moleſtia, quæ calamitas non comitatur?

Principatus incommoda.

An non ſtatim ipſe principatus ingreſſus infinitis te implicat malis, & in extremam neceſſitatẽ conijcit? ut cum ciuibus uniuerſis bellum gerere cogaris, & inteſtino proſequaris odio eos, à quibus nihil mali unquam ſis paſſus?

Ad hæc

καὶ πλείους ἐπιθυμίας ἔχοντας τῶν κακῶν, ἢ τῶν ἀγαθῶν, ἅμα δὲ βουλομένους ὄνεσθαι τὰς τῶν ἐχθρῶν, ἢ σφᾶν αὐτῶν. καὶ ταῦτ' ἴδοι τις ἂν ἐπὶ τῶν μεγίστων. τί γὰρ οὐχ οὕτω γέγονεν; οὐχ ἡμᾶς μὲν ταῦτα προηρημένους πράττειν, δι' ὧν Λακεδαιμόνιοι τῶν Ἑλλήνων δεσπόται κατέστησαν, ἐκείνους δὲ οὕτω κακῶς προεστῆναι τῶν πραγμάτων, ὥσθ' ἡμᾶς οὐ πολλοῖς ἔτεσιν ὕστερον, πάλιν ἐπιπολάσαι καὶ κυρίους γενέσθαι τῆς ἐκείνων σωτηρίας. οὐχ ἡ μὲν τῶν ἀττικιζόντων πολυπραγμοσύνη, λακωνίζειν τὰς πόλεις ἐποίησεν, ἡ δὲ τῶν λακωνιζόντων ὕβρις, ἀττικίζειν τὰς αὐτὰς ταύτας ἠνάγκασεν; οὐ διὰ μὲν τὴν τῶν δημηγορούντων πονηρίαν, αὐτὸς ὁ δῆμος ἐπεθύμησε τῆς ὀλιγαρχίας τῆς ἐπὶ τῶν τετρακοσίων καταστάσης, διὰ δὲ τὴν ἐπὶ τῶν τριάκοντα μανίαν, πάντες δημοτικώτεροι γεγόναμεν τῶν φυλὴν καταλαβόντων. ἀλλὰ γὰρ ἐπὶ τῶν ἐλαττόνων, καὶ τοῦ βίου καθ' ἡμέραν ἐπιδείξειεν ἄν τις πολλοὺς, χαίροντας μὲν καὶ τῶν ἐδεσμάτων, καὶ τῶν ἐπιτηδευμάτων τοῖς καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν βλάπτουσιν, ἐπίπονα δὲ καὶ χαλεπὰ νομίζοντας, ἀφ' ὧν ἀμφότερα ταῦτ' ἂν ὠφελοῖντο, καὶ καρτερικοὺς εἶναι δοκοῦντας, τοὺς ἐν τούτοις ἐμμένοντας. εἴ τινες οὖν ἐν οἷς ἀεὶ ζῶσι, καὶ περὶ ὧν αὐτοῖς μάλλον μέλει, τὰ χείρω φαίνονται προαιρούμενοι, τί θαυμαστὸν εἰ περὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν ἀγνοοῦσι καὶ μάχονται πρὸς ἀλλήλους, περὶ ἧς μηδεὶς πώποτε λογισμὸς αὐτοῖς εἰσῆλθεν; ὁρᾶτε δὲ καὶ τὰς μοναρχίας τὰς ἐν ταῖς πόλεσι καθισταμένας, ὅσους ἔχουσι τοὺς ἐπιθυμητὰς, καὶ τοὺς ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν, ὥστε κατασχεῖν αὐτάς. ἇς τί τῶν δεινῶν, τί τῶν χαλεπῶν οὐ πρόσεστιν. οὐκ εὐθὺς ἐπειδὰν λάβωσι τὰς δυναστείας, ἐν τοσούτοις κακοῖς εἰσὶν ἐμπεπλεγμένοι, ὥστ' ἀναγκάζεσθαι πολεμεῖν μὲν ἅπασι τοῖς πολίταις, μισεῖν δὲ τούτους, ὑφ' ὧν οὐδὲν κακὸν πεπόνθασιν.

Ad hæc chariſſimis amicis & iucundiſſimis ſodalibus diffiſus, corporis tui ſalutē mercenarijs hominibus deponas, quos antea ne uideris quidem unquam? Quod genus cuſtodes, tibi non minori ſolicitudine ſunt timendi, quā & inſidiatores. Deniq; ſuſpectos adeo habeas omneis, ut in congreſſibus uel intimis & arctiſſimis neceſſitudinis uinculo coniunctis parū fidere audeas. Neq; id iniuria: quando illud conſtat, qui ante tyrannidem obtinuerunt, eorum alios à parentibus è medio ſublatos, alios à liberis, alios à fratribus, alios ab uxoribus circūuentos: porrò eorundem familias ex hominibus penitus extirpatas. Attamen in tot calamitatum aleam miſeri ſua ſponte ſe ipſi conijciunt. Ergo ſi qui in repub. primas tenent, ac alijs ſapiētiæ opinionem de ſe dederunt, ita ſibi malorum ſunt autores, ſuisq; calamitatibus applaudunt, quid attinet alios admirari, qui res eiuſmodi ambiunt? Neq; uero me fugit orationem meam qua parte tyrannos attingit, uobis cum primis eſſe gratā, qua uero imperium, auribus ueſtris planè diſplicere. Nam peſſimis omnino laboratis affectibus. Siquidem quæ in alijs obſeruata, damnatis, eadem in uobiſipſis ne animaduertitis quidem. Atqui prudentis, & cordati hominis, haud ſcio an non maximū eſt ſignum, ſi earundem rerum æſtimationem in omnibus cōſimiliter facere uideatur. Quæ cēſendi regula à uobis ſemper modis omnibus negligitur. Etenim tyrannides quidem graues, & noxias putatis non alijs ſolum, ſed & his, qui eas exerceant. At maris ditionem ſummorum bonorum cauſam iactatis, quæ tamen ſiue perturbationum multitudinem, ſiue muneris adminiſtrandi difficultatem ſpectes, à monarchijs differt omnino. Et rem Thebanam, propterea quod uicinos ſuos iniuria afficiant, laborare cenſetis, ipſi uero cum ſocios ueſtros nihilo melius tractetis, quàm illi Bœotiam, uos nihil non ad rem pertinens facere perſuaſi eſtis. Quin ergo in primis, ſi me audire uultis, omiſſis uanis illis conſultationibus, animos ueſtros ad ipſam rempub. atque adeo noſipſos conuertitis.

Sicq;

ἀπιστεῖν δὲ καὶ τοῖς φίλοις καὶ τοῖς ἑταίροις τοῖς ἑαυτῶν. παρακατατίθεσθαι δὲ, τὴν τῶν σωμάτων σωτηρίαν μισθοφόροις ἀνθρώποις, οὓς οὐδὲ πώποτε εἴδομεν· καὶ μηδὲν ἧττον φοβεῖσθαι τοὺς φυλάττοντας, ἢ τοὺς ἐπιβουλεύοντας· οὕτω δ᾽ ὑπόπτως πρὸς ἅπαντας ἔχειν, ὥστε μὴ δὲ τοῖς οἰκειοτάτοις θαῤῥεῖν πλησιάζοντας, εἰκότως. συνίσασι γὰρ τοὺς πρὸ αὐτῶν τετυραννηκότας, τοὺς μὲν ὑπὸ γονέων ἀνῃρημένους, τοὺς δὲ ὑπὸ παίδων, τοὺς δὲ ὑπ᾽ ἀδελφῶν, τοὺς δὲ ὑπὸ γυναικῶν. ἔτι δὲ τὸ γένος αὐτῶν ἐξ ἀνθρώπων ἠφανισμένον. ἀλλ᾽ ὅμως ὑπὸ τοσαύτας τὸ πλῆθος συμφορὰς ἑκόντες σφᾶς αὐτοὺς ὑποβάλλουσιν. ὅπου δ᾽ οἱ πρωτεύοντες, καὶ δόξας μεγίστας ἔχοντες τοσούτων κακῶν ἐρῶσι, τί δεῖ τοὺς ἄλλους θαυμάζειν, εἰ τοιούτων ἑτέρων ἐπιθυμοῦσιν. οὐκ ἀγνοῶ δὲ, ὅτι τὸν μὲν περὶ τῶν τυράννων λόγον, ἀποδέχεσθε, τὸν δὲ περὶ τῆς ἀρχῆς, δυσκόλως ἀκούετε. πεπόνθατε γὰρ ἅπαντων αἴσχιστον. ἃ γὰρ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, ταῦτ᾽ ἐφ᾽ ὑμῶν ἀγνοεῖτε αὐτῶν. καίτοι τῶν φρονίμως διακειμένων, οὐκ ἔλαττον τοῦτο σημεῖον ἐστὶν, ἢν τὰς αὐτὰς ταύτας πράξεις ἐπὶ πάντων ὁμοίως φαίνονται γνωρίζοντες. ὧν ὑμῖν οὐδὲν πώποτ᾽ ἐμέλησεν, ἀλλὰ τὰς μὲν τυραννίδας ἡγεῖσθε χαλεπὰς εἶναι καὶ βλαβερὰς, οὐ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ τοῖς ἔχουσιν αὐτὰς, τὴν δὲ ἀρχὴν τὴν κατὰ θάλατταν, μεγίστων ἀγαθῶν αἰτίαν. τὴν οὐδὲν, οὔτ᾽ ἐν τοῖς πάθεσιν, οὔτ᾽ ἐν ταῖς πράξεσι τῶν μοναρχιῶν διαφέρουσαν. καὶ τὰ μὲν τῶν Θηβαίων πράγματα, νομίζετε πονηρῶς ἔχειν, ὅτι τοὺς περιοίκους ἀδικοῦσιν, αὐτοὶ δ᾽ οὐδὲν βέλτιον τοὺς συμμάχους διοικοῦντες, ἢ ἐκεῖνοι τὴν Βοιωτίαν, ἡγεῖσθε πάντα τὰ δέοντα πράττειν. ἢν οὖν ἐμοὶ πείθησθε παυσάμενοι τοῦ πάντα πᾶσιν εἰκῇ βουλεύεσθαι, προσέξετε τὸν νοῦν ὑμῖν αὐτοῖς καὶ τῇ πόλει.

Sicq; accuratius diſquiritis, quid nam ſit illud quod ciuitates hæ duæ, noſtra dico, & Lacedæmoniorum ab exiguis profectæ initijs eò creuerint, ut imperium totius penè Græciæ aliquandiu tenuerint, ac rurſum rerum cardine commutato, ex tanta potentia in libertatis amittendæ periculum reciderint: tum quid nam ſit cauſæ quod Theſſali quidem, qui ſummas opes cum ſumma potentia coniunctas habebant, nunc duriter uitam agunt: Megarēſes autem, cum iam inde ab initio familiares copiæ eis fuerint, exiguum neq; habeant fertile ſolū, neq; portus, neq; argenti fodinas, ſed ſaxa colant, domos tamē magnificentiſſime poſſideant. Et illorum quidem arces tametſi eis ſuppetunt plus quàm ter mille equites & ſagittarij innumerabiles, alij tenent, hi uere quantumuis exiguis copijs inſtructi, totam ſuam regionem ex animi ſententia uel nullo obſtrepente, gubernant. Ad hæc illi ſemper inteſtinis bellis ſeſe conficiunt, hi uero quamuis inter Peloponeſiorum, Thebanorum, ac noſtræ ciuitatis perpetua bella ſedem habeant, nihilominus in ſumma tranquillitate, & pace uitam tranſigunt.

Hic attendat cordatus lector.

Nam ſi hæc atque eiuſmodi alia apud animum ueſtrum diligenter expenderitis, dubio procul malorum omnium cauſam inuenietis iniuriam, licentiam, & immodicum habendi ſtudium: at cōtinentiam, & moderationem bonarum omniū fontem. Quam uirtutem in priuatis quidē laudatis, quicq; eā exercent, eos inter ciues omnes tranquilliſſime uiuere, & cæteris meliores putatis. Et ut communes omnium cuſtodes magiſtratus hac laude probentur nihil ad rem pertinere cenſebitis? Certe ut uirtutes magno ſtudio ſunt exercendæ, ita uitia fugienda cum omnibus, tum uero maxime magiſtratibus. Nā priuatus quiſpiam etiamſi peccat, tamen aliquoties uſu uenit, ut ipſas errati pœnas morte anteuertat. Verum ciuitates, in quas redundat, ſi quid à magiſtratibus cōmiſſum fuerit, quia non perinde, ac homines emoriūtur, ſemper manent factis digna ſupplicia, eaq; non tantū ab hominibus, ſed & ipſis diuis.

Nobilis ſententia.

καὶ φιλοσοφήσετε, καὶ σκέψεσθε τί τὸ ποιοῦσαν διττὰ πόλεις ταύτα λέγω δὲ τὴν ἡμετέραν καὶ τὴν λακεδαιμονίων, ἐκ ταπεινῶν μὲν πραγμάτων ἑκατέραν ὁρμηθεῖσαν, ἄρξαι τῶν ἑλλήνων, ἐπεὶ δὲ ἀνυπέρβλητον τὴν δύναμιν ἔλαβον, περὶ ἀνδραποδισμοῦ κινδυνεῦσαι. καὶ διὰ τίνας θετταλοὶ μὲν μεγίστους πλούτους παραλαβόντες, καὶ δύναμιν μεγίστην, καὶ πλείστην ἔχοντες, εἰς ἀπορίαν καθεστήκασι. μεγαρεῖς δὲ μικρῶν αὐτοῖς καὶ φαύλων τῶν ἐξ ἀρχῆς ὑπαρχόντων, καὶ γῆν μὲν οὐκ ἔχοντες, οὐδὲ λιμένας, οὐδὲ ἀργυρεῖα, πέτρας δὲ γεωργοῦντες, μεγίστους τῶν ἑλλήνων οἴκους κέκτηνται. κἀκείνων μὲν τὰς ἀκροπόλεις, ἄλλοι τινὲς ἀεὶ κατέχουσι, ὄντων αὐτοῖς πλέων, ἢ τρισχιλίων ἱππέων, καὶ πελταστῶν ἀναριθμήτων. οὗτοι δὲ μικρὰν δύναμιν ἔχοντες, τὴν αὐτῶν ὅπως βούλωνται διοικοῦσι. καὶ πρὸς τούτοις οἱ μὲν σφίσιν αὐτοῖς ἀεὶ πολεμοῦσιν, οὗτοι δὲ μεταξὺ πελοποννησίων, καὶ θηβαίων, καὶ τῆς ἡμετέρας πόλεως οἰκοῦντες, τὴν εἰρήνην ἄγοντες διατελοῦσιν. ἢν δὲ ταῦτα, καὶ τὰ τοιαῦτα διεξίητε πρὸς ὑμᾶς αὐτοὺς, εὑρήσετε, τὴν μὲν ἀκολασίαν καὶ τὴν ὕβριν τῶν κακῶν αἰτίαν γιγνομένην, τὴν δὲ σωφροσύνην, τῶν ἀγαθῶν, ἣν ὑμεῖς ἐπὶ μὲν τῶν ἰδίων ἐπαινεῖτε, καὶ νομίζετε τοὺς ταύτῃ χρωμένους ἀσφαλέστατα ζῆν, καὶ βελτίους εἶναι τῶν πολιτῶν. τὸ δὲ κοινὸν ὑμῶν, οὐκ οἴεσθε δεῖν τοιοῦτο παρασκευάζειν. καίτοι προσήκει τὰς ἀρετὰς ἀσκεῖν, καὶ τὰς κακίας φεύγειν, καὶ πολὺ μᾶλλον ταῖς πόλεσιν, ἢ τοῖς ἰδιώταις. ἀνὴρ μὲν γὰρ ἀσεβὴς καὶ πονηρὸς, τυχὸν ἂν φθάσαι τελευτήσας, πρὶν δοῦναι δίκην τῶν ἡμαρτημένων. αἱ δὲ πόλεις διὰ τὴν ἀθανασίαν, ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων, καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας.

Quæ uobis prudenter ſunt expendenda, ne in animũ admittatis eos, qui in præſens quidem gratioſis uerbis aures ueſtras demulcent, ſed temporis futuri nullam habent rationem: nec animum inducatis eis credere qui multis quidem uerbis ſuum erga rempu. ſtudium coram populo iactent, ſed re ipſa totam ciuitatem labefactant, quemadmodum & prius: mox ubi publicani pro cõcione orandi autoritatem nacti eſſent, eò demẽtiæ ciuitatem redegerũt, ut cuiuſmodi nobis ſupra recẽſui deſignare ſuſtinuerint. Quo loco omniũ maxime mirari ſuccurrit, eis nos autoritatẽ populũ cõcionibus tenendi, cõmunibus ſuffragijs deferre, nõ qui perinde ſint affecti ac fuerunt, qui rẽp. ex parua magnam fecerunt, ſed qui non alia tum dicant, tum faciant, ꝗ qui optimam à maioribus acceptam ſuo uitio prodiderunt, præſertim cum modo ſciatis unicum eſſe, quo reſpu. promoueatur, ſi quod ad honores attinet, boni malis præferẽ-

Quod maxime rẽpub. promoueat. tur. Sed & compertum habeatis popularem libertatem ſub illis ueteribus multis quidem annis neq; perturbatam, neq; in aliam formam cõmutatam: uerum eandem ſub his recentioribus iam bis euerſam: tum ciues, qui partim tyrãnis, partim triginta illis præfectis rerum potientibus ſucceſſerunt in urbem reductos nõ ſycophantarum horũ opera, ſed prudentia eorũ, qui hoc hominũ genus ſemper oderunt, quiq; nomen ſua uirtute celebre habuerint. Et quanꝗ tot à ueteribus nobis ſint relicta monumenta, quæ quid quiſq; reipu. uel profuerit, uel nocuerit, aperte declarant: tamen eiuſmodi oratorum uerſutiæ adeo nobis placent, ut tametſi oculis coràm cernamus bellorũ, aliarumq; perturbationũ, quas illi excitarãt, cauſa, ciues quidẽ multos patrimonij ſui facultatibus excidiſſe, illos uero è ſumma paupertate ſummas opes conſcendiſſe, non tamen uel noſtro nomine indignemur, uel illis ſuam felicitatẽ inuideamus. Imò & ipſam ciuitatem in crimen uocari ſuſtineamus, quaſi ea Græcos affliget, & tributis imperatis premat, illos uerò, nempe oratores malos, patiamur fructus hos omnes capere.

Tum

τῶν ἐνθυμουμένους, καὶ μὴ προσέχειν τὸν νοῦν τοῖς ἐν τῷ παρόντι μὲν χαριζομένοις, τοῦ δὲ μέλλοντος χρόνου, μηδεμίαν ἐπιμέλειαν ποιουμένοις. μηδὲ τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσιν, ὅλην δὲ τὴν πόλιν λυμαινομένοις, ὡς καὶ πρότερον. ἐπειδὴ παρέλαβον οἱ τοιοῦτοι τὴν ἐπὶ τοῦ βήματος δυναστείαν, εἰς τοσαύτην ἄνοιαν προήγαγον τὴν πόλιν, ὥστε τὰ παθεῖν αὐτὴν, δι' ἃ πρὸ ὀλίγῳ πρότερον ὑμῖν διηγησάμην. ὃ καὶ πάντων μάλιστ' ἄν τις θαυμάσειεν, ὅτι προχειρίζεσθε δημαγωγοὺς, οὐ τοὺς τὴν αὐτὴν γνώμην ἔχοντας τοῖς μεγάλην τὴν πόλιν ποιήσασιν, ἀλλὰ τοὺς ὅμοια καὶ λέγοντας καὶ πράττοντας τοῖς ἀπολέσασιν αὐτήν. καὶ ταῦτ' εἰδότες, οὐ μόνον τῷ ποιῆσαι τὴν πόλιν εὐδαίμονα τοὺς χρηστοὺς τῶν πονηρῶν διαφέροντας, ἀλλὰ καὶ τὴν δημοκρατίαν ἐπὶ μὲν ἐκείνων, πολλοῖς ἔτεσιν, οὔτε κινηθεῖσαν, οὔτε μεταστᾶσαν. ἐπὶ δὲ τούτων, ἐν ὀλίγῳ χρόνῳ δὶς ἤδη καταλυθεῖσαν, καὶ τὰς φυγὰς τὰς ἐπὶ τῶν τυράννων, καὶ τὰς ἐπὶ τῶν τριάκοντα γεγενημένας, οὐ διὰ τοὺς συκοφάντας κατελθούσας, ἀλλὰ διὰ τοὺς μισοῦντας τοὺς τοιούτους, καὶ μεγίστην ἐπ' ἀρετῇ δόξαν ἔχοντας. ἀλλ' ὅμως τηλικούτων ἡμῖν ὑπομνημάτων καταλελειμμένων, δι' ἐξ ὧν ἐφ' ἑκατέρων αὐτῶν ἡ πόλις ἔπραττεν, οὕτω χαίρομεν ταῖς τῶν ῥητόρων πονηρίαις, ὥσθ' ὁρῶντες διὰ τὸν πόλεμον καὶ τὰς ταραχὰς ἃς αὐτοὶ πεποιήκασι, τῶν μὲν ἄλλων πολιτῶν πολλοὺς ἐκ τῶν πατρῴων ἐκπεπτωκότας, τούτους δὲ ἐκ πενήτων πλουσίους γεγενημένους, οὐκ ἀγανακτοῦμεν, οὐδὲ φθονοῦμεν ταῖς εὐπραγίαις αὐτῶν, ἀλλ' ὑπομένομεν τὴν πόλιν διαβολὰς ἔχουσαν, ὡς λυμαίνεται καὶ δασμολογεῖ τοὺς Ἕλληνας. τούτους δὲ τὰς ἐπικαρπίας λαμβάνοντας.

καὶ ἐπ.

Tum populo quidẽ,cui imperiũ uerbotenus tantũ tribuũt,cõ
ditionem eſſe priorẽ,ꝙ his qui paucorũ potẽtiæ,Græci ὀλιγαρ-
χίας dicunt,ſeruiũt.Hos uero per noſtrã ſtulticiã ex anguſtiſ-
ſimæ re familiari ad magnũ fortunæ ſplendorẽ perueniſſe. At-
qui Pericles,inquiunt,qui longe ante hoc tẽpus populi ſuffra
gio orator in rep.cõſtitutus erat ,cũ ciuitatem magis quidem
nutantem,ꝙ poſt acceptũ maris imperiũ ,tolerabilius tamen
adhuc inſtitutam accepiſſet,nõ ad ſuũ ipſius quæſtum ſtudia
conuertit,ſed familiam ſuã ipſius minorem,ꝙ à patre accepe-
rat,reliqt.At in arcẽ præter ea,quæ ſacris dicauit,intulit octies
mille talenta.Hi autem,qui nunc præſunt,tantum ab illius fa-
ctis abſunt,ut dicere etiã non uereantur,ſe per reipub.curam
priuatis commodis ſtudere non poſſe. Cum interim per hãc
ſcilicet rei familiaris negligentiam,eos tantum profeciſſe appa
ret,quantũ alioqui à dijs ne optaſſent quidẽ unquam.Ad hæc
& illud obijciunt plebem noſtram haud quaꝙ lætam degere,
imò ſic tractari,ut ciuium nemo uiuat necq; commode ,neque
molliter.Quin ciuitatem plenam eſſe complorationibus , ſic
enim aiunt,alios quidem huc adigi,ut paupertatẽ ,egeſtatẽq;
ſuam apud ſeſe,& quod aiunt,in ſinu deplorarẽt:alios uero de
imperatorum,ac miniſteriorum multitudine queri. Tum exa
ctiones,atq; æris alieni ſolicitudinem iactãt.Quæ omnia eiuſ-
modi dolorem faciunt,ut qui magnas habent facultates,miſe-
rius penè uiuant,ꝙ qui perpetua paupertate depreſſi in diui-
tiarum ſpem ſeſe nunquam erexerunt.Demiror autem uos ,ſi
hoc perſpicere non poteſtis,nullum hominum genus plebi pe
ſtilentius,quàm ſint maligni rhetores,atq; in repub. oratores.
Nam præter aliam calamitatem,quam ſecum adferunt,uos &
his,quorũ in ſingulos dies eget uſus ,ſpoliare ſtudent. Vidẽt
enim qui domeſtica facultate ius ſuũ tueri ſufficiũt,eos & pro
reipub. commodis ſtare , & eorum qui optima tum dicunt,
tum faciunt,partes ſequi.At,qui partim in foro,partim populi
concionibus uictũ quæritant,eos inopia coactos à ſe pẽdere,
uidelicet

Rabulæ forẽ-ſes & id ge-nus homines litium fabri.

καὶ τὸν μὲν δῆμον ὅν φασιν οὗτοι δεῖν τῶν ἄλλων ἄρχειν, χείρω πράττοντα τῶν ταῖς ὀλιγαρχίαις δουλευόντων. οἷς δ' οὐδὲν ὑπῆρχεν ἀγαθόν, τούτους διὰ τὴν ἄνοιαν τὴν ἡμετέραν, ἐκ ταπεινῶν εὐδαίμονας γεγενημένους. καίτοι περικλῆς ὁ πρὸ τῶν τοιούτων δημαγωγὸς καταστάς, παραλαβὼν τὴν πόλιν, χείρω μὲν φρονοῦσαν ἢ πρὶν κατασχεῖν τὴν ἀρχήν, ἔτι δὲ ἀνεκτῶς πολιτευομένην, οὐκ ἐπὶ τὸν ἴδιον χρηματισμὸν ὥρμησεν, ἀλλὰ τὸν μὲν οἶκον ἐλάττω τὸν ἑαυτοῦ κατέλιπεν, ἢ παρὰ τοῦ πατρὸς παρέλαβεν, εἰς δὲ τὴν ἀκρόπολιν ἀνήνεγκεν ὀκτακισχίλια τάλαντα, χωρὶς τῶν ἱερῶν. οὗτοι δὲ τοσοῦτον ἐκείνου διενηνόχασιν, ὥστε λέγειν μὲν τολμῶσιν, ὡς διὰ τὴν τῶν κοινῶν ἐπιμέλειαν, οὐ δύνανται τοῖς αὐτῶν ἰδίοις προσέχειν τὸν νοῦν. φαίνεται δὲ τὰ μὲν ἀμελούμενα, τοσαύτην εἰληφότα τὴν ἐπίδοσιν, ὅσην οὐδ' ἂν εὔξασθαι τοῖς θεοῖς πρότερον ἠξίωσαν. τὸ δὲ πλῆθος ἡμῶν, οὗ κήδεσθαι φασίν, οὕτω διακείμενον, ὥστε μηδένα τῶν πολιτῶν ζῆν ἡδέως μήτε ῥᾳθύμως, ἀλλ' ὀδυρμῶν μεστὴν εἶναι τὴν πόλιν. οἱ μὲν γὰρ τὰς πενίας καὶ τὰς ἐνδείας ἀναγκάζονται διεξιέναι καὶ θρηνεῖν πρὸς σφᾶς αὐτούς, οἱ δὲ τὸ πλῆθος τῶν προσταγμάτων, καὶ λειτουργιῶν καὶ τὰ περὶ τὰς εἰσφοράς, καὶ τὰς ἀντιδόσεις. ἃ τοιαύτας ἐμποιεῖ λύπας, ὥστε ἄλγιον ζῆν τοὺς τὰς οὐσίας κεκτημένους, ἢ τοὺς συνεχῶς πενομένους. θαυμάζω δ' εἰ μὴ δύνασθε συνιδεῖν, ὅτι γένος οὐδέν ἐστι κακονούστερον τῷ πλήθει, πονηρῶν ῥητόρων καὶ δημαγωγῶν. πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς, καὶ τῶν τὴν ἡμέραν ἑκάστην ἀναγκαίων οὗτοι μάλιστα βούλονται σπανίζειν ἡμᾶς. ὁρῶσι γὰρ τοὺς μὲν ἐκ τῶν ἰδίων δυναμένους τὰ σφέτερ' αὐτῶν διοικεῖν, τῆς πόλεως ὄντας καὶ τῶν τὰ βέλτιστα λεγόντων. τοὺς δ' ἀπὸ τῶν δικαστηρίων ζῶντας, καὶ τῶν ἐκκλησιῶν καὶ τῶν ἐντεῦθεν λημμάτων, ὑφ' αὑτοῖς διὰ τὴν ἔνδειαν ἠναγκασμένους εἶναι.

uidelicet,qui magnam debeant gratiam delationibus,crimini bus,atq; id genus aliis ſycophantarum ſtrophis. Quibus omnibus locum dat illorum magiſtratus. Itaq; iucundiſſimũ eis fuerit,in rei familiaris anguſtiis,in quibus ipſi ætatem agũt,& ciues uniuerſos conſpicere. Cuius rei maximum eſt indicium, quod non huc ſpectant, qua uia egentibus uictum ſubminiſtrẽt,ſed quibus technis eos,qui aliquid habere uidẽtur,cæteris exæquent. Quæ ergo dabitur à tot malis requies? Equidẽ, quæ mihi huc pertinere ſunt uiſa,magna ex parte receſui,non quidẽ ordine accuratius ſeruato,ſed ut quæq; pro tẽpore inciderunt. Verũtamen minori negocio dictorũ meminiſſe poteritis ſi quæ urgere maxime uidebũt,denuo paucis perſtringere tẽtaro. Igitur ex his per quæ res noſtræ collapſæ erigi,inq; melius reſtitui queant,primũ fuerit,ſi publicis negociis cõſiliarios adhibuerimus tales,quales in priuatis rebus nobis cõtingere optaremus,nec poſthac in errore ita ſimus pertinaces,ut populares exiſtimemus eſſe ſycophantas iſtos, ὀλιγαρχικοὺς aũt,hoc eſt qui cõmunẽ omniũ libertatẽ in ſuã & paucorũ aliorũ potentiã redigere ſtudeãt,uiros bonos,& honeſtos,quãdo cognitũ habetis neutros horũ,quod uulgo uel p adulationẽ, uel per inuidiam audiũt,natura eſſe poſſe. Quin potius cuiq; geſtit animus eiuſmodi rẽpu.inſtituere,in qua ipſe maxime in precio ſit futurus. Proximũ uero,ſi animũ induxerimus nõ aliter uti ſociis,q̃ & amicis. Nec uerbotenus tãtum eis libertatẽ permittamus,re ipſa uero facultatẽ eos pro ſua libidine tractãdi ducibus noſtris concedamus. Nec dominorũ,ſed ſociorum exẽplo imperiũ in eos geramus,præſertim cũ iam ſatis edocti ſimus potentiam noſtrã ſociorũ ciuitatibus ſingulis quidẽ eſſe ſuperiorẽ,ſed uniuerſis longe inferiorẽ. Porrò tertiũ eſt,ſi poſt pietatem,quæ diuis debetur,tanti putemus nihil,quã ut Græcis bonam de nobis opinionem dare modis omnibus ſtudeamus. Nam ſi his armis inſtructi erimus uoluntarii quiq; non imperium modo,ſed & ſeipſos in noſtram manum dederint.

Nobilis & ueriſs. ſententia.

Quod

καὶ πολλὴν χάριν ἔχοντας ταῖς εἰσαγγελίαις καὶ ταῖς γραφαῖς, καὶ ταῖς ἄλλαις συκοφαντίαις ταῖς δι' αὐτῶν γιγνομέναις. ἐν οὖν ταῖς ἀπορίαις ἐν αἷς αὐτοὶ δυναστεύουσιν, ἐν ταύταις ἥδιστ' ἂν ἴδοιεν ἅπαντας ὄντας τοὺς πολίτας, τεκμήριον δὲ μέγιστον. οὐ γὰρ τοῦτο σκοποῦσιν ὅτῳ τρόπῳ τοῖς δεομένοις τὸν βίον ἐκποριοῦσιν, ἀλλ' ὅπως καὶ τοὺς ἔχειν τι δοκοῦντας, τοῖς ἀπόροις ἐξισώσουσι.

Τίς οὖν ἀπαλλαγὴ γένοιτ' ἂν τῶν παρόντων κακῶν; διείλεγμαι μὲν τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ ἐφεξῆς, ἀλλ' ὡς ἕκαστον τῷ καιρῷ συνέπιπτε. μᾶλλον δ' ἂν ἡμῖν ἐγγένοιτο μνημονεύειν, εἰ συναγαγὼν τὰ μάλιστα κατεπείγοντα, πάλιν ἐπανελθεῖν αὐτὰ πειραθείην. ἔστι δ' ἐξ ὧν ἂν ἐπανορθώσαιμεν τὰ τῆς πόλεως καὶ βελτίω ποιήσαιμεν, πρῶτον μὲν ἢν συμβούλους ποιώμεθα τοιούτους περὶ τῶν κοινῶν, οἵους περ ἂν περὶ τῶν ἰδίων ἡμῖν εἶναι βουληθείημεν, καὶ παυσώμεθα δημοτικοὺς μὲν νομίζοντες εἶναι τοὺς συκοφάντας, ὀλιγαρχικοὺς δὲ, τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν, γνόντες ὅτι φύσει μὲν, οὐδεὶς οὐδέτερον τούτων ἐστίν. ἐν ᾗ δ' ἂν ἕκαστοι τιμῶνται, ταύτην βούλονται καθεστάναι τὴν πολιτείαν. δεύτερον, ἢν ἐθελήσωμεν χρῆσθαι τοῖς συμμάχοις ὁμοίως, ὥσπερ τοῖς φίλοις, καὶ μὴ λόγῳ μὲν αὐτοὺς αὐτονόμους ἀφιῶμεν, ἔργῳ δὲ τοῖς στρατηγοῖς αὐτούς, ὅτι ἂν βούλονται ποιεῖν ἐνδιδῶμεν. μὴ δὲ δεσποτικῶς, ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπιστατῶμεν. ἐκεῖνο καταμαθόντες, ὅτι μιᾶς μὲν ἑκάστης τῶν πόλεων κρείττους ἐσμέν, ἁπασῶν δὲ, ἥττους. τρίτον δ', ἢν μηδὲν περὶ πλείονος ἡγῆσθε μετά γε τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν, τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν. τοῖς γὰρ οὕτω διακειμένοις, ἑκόντες καὶ τὰς ἡγεμονίας, καὶ σφᾶς αὐτοὺς ἐνδιδόασιν.

Quod ſi quæ dixi,opere executi fueritis,inſuperq́ uoſipſi cō-
paraueritis,bellicoſos quidem in militari diſciplina,& appara-
tu,manſuetos uerò,ac pacificos nihil præter æquum faciendo
futurum,ut nō ueſtram modo ciuitatem reddatis feliciorem,
ſed & totius Græciæ ſtatum promoueatis.Neq; enim ,ubi ui-
derint ciuitatem noſtram huc ſpectare,& iam inſtructā ,ut ſi
qui iniuriam patiantur,eis ſubueniant,ulla ciuitas quicq̄ fero-
cius deſignare audebit.Imò cunctabundi ad res nouas incipi
endas erunt,ſicq; in ſumma quiete degēt.Attamen ſiue hoc ſi-
ue illud fecerint,euētus in noſtrū cōmodum cedet.Etem̄ ſi ci-
uitates,quæ inter alias ſunt eminentiores,ab eiuſmodi iniurijs
dehinc abſtinuerint,id beneficij nobis acceptū feret. Sin alij
per uim iniuriā facere conabuntur,omnes profecto,quos uel
ipſa iniuria,uel metus tangit,ad nos ſupplices cōfugient ,nihil
non offerentes nō modo imperium,ſed & ſeipſos.Quibus re
bus futurum eſt,ut nunq̄ deſint,quorum miniſterio maligna
ri uolentes,propulſemus.Imò ad manū ſemper auxiliares co-
piæ multæ ſuppetāt.Nam cui ciuitati,imò cui omnino homi-
ni nō erit in uotis noſtræ amicitiæ ,ſocietatisq; fieri participē?
maxime cum uidebit nos ad utrūq; iuxta paratos in pace qui-
dem iuſtiſſimos,ad bellum uero potentia ſumma inſtructos,
tum nobis ut in animo,ita & manu eſſe alios defendere ,nos
ipſos autem nullius auxilio indigere.Iam uero q̄ ingens in ci
uitate rerum omnium expectandus eſſet profectus ,ſi exteri
omnes magnifice adeo de repub.noſtra ſentirent? Tum autē
quantas opes in ciuitatem uelut influere uiſuri eſſemus,ſi nos
per Græciam uniuerſam in felici ſtatu ſeruari conſtaret? Quis
uero nō uel ſummis laudibus efferret eos,qui tot ac tantorum
bonorum extitiſſent autores? Quanq̄ autem ſingula ,quæ in
animo meo cogito,oratione complecti non licet ,hoc tamen
nunc docebo,uidelicet,cōmodiſſimū eſſe,ut eis,q inter tot ini
quos,& quaſi inſanos à rectæ rationis tramite nō declinarunt,
libertas & reipub.ſalus committatur,nec ut ante boni publici

corruptores

ἢν οὖν ἐμμείνητε τοῖς εἰρημένοις, καὶ πρὸς τούτοις ὑμᾶς αὐτοὺς παράσχητε, πολεμικοὺς μὲν ὄντας ταῖς μελέταις καὶ ταῖς παρασκευαῖς, εἰρηνικοὺς δὲ, τῷ μηδὲν παρὰ τὸ δίκαιον πράττειν, οὐ μόνον εὐδαίμονα ποιήσετε ταύτην τὴν πόλιν, ἀλλὰ καὶ τοὺς ἕλληνας ἅπαντας. οὐδὲ γὰρ ἄλλη τῶν πόλεων, οὐδὲ μία τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ' ὀκνήσουσι, καὶ πολλὴν ἡσυχίαν ἕξουσιν, ὅταν ἴδωσιν ἐφεδρεύουσαν τὴν ἡμετέραν πόλιν, καὶ παρεσκευασμένην τοῖς ἀδικουμένοις βοηθεῖν. οὐ μὴν ἀλλ' ὁπότερον ἂν ποιῶσιν, τό γ' ἡμέτερον, καλῶς ἕξει καὶ συμφερόντως. ἢν μὲν γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις, ἀπέχεσθαι τούτων τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγαθῶν τὴν αἰτίαν ἕξομεν. ἢν δ' ἐπιχειρῶσιν ἀδικεῖν, ἐφ' ἡμᾶς ἅπαντες οἱ δεδιότες καὶ κακῶς πάσχοντες καταφεύξονται, πολλὰς ἱκετηρίας καὶ δεήσεις ποιούμενοι, καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν, ἀλλὰ καὶ σφᾶς αὐτοὺς, ὥστ' οὐκ ἀπορήσομεν μεθ' ὧν κωλύσομεν τοὺς ἐξαμαρτάνοντας, ἀλλὰ πολλοὺς ἕξομεν τοὺς ἑτοίμως συναγωνιζομένους ἡμῖν. ποία γὰρ ἢ πόλις, ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει μετασχεῖν τῆς φιλίας καὶ τῆς συμμαχίας τῆς ἡμετέρας, ὅταν ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους ὄντας, καὶ μεγίστην δύναμιν κεκτημένους, καὶ τοὺς μὲν ἄλλους σώζειν καὶ βουλομένους, καὶ δυναμένους, αὐτοὺς δὲ μηδὲ μιᾶς βοηθείας δεομένους; πόσην δὲ χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι, τῆς τοιαύτης εὐνοίας παρὰ τῶν ἄλλων ὑπαρξάσης; πόσον δὲ πλοῦτον εἰσρυήσεσθαι εἰς τὴν πόλιν, δι' ἡμῶν ἁπάσης τῆς ἑλλάδος σωζομένης; τίνας δ' οὐκ ἐπαινέσεσθαι τοὺς τοσούτων, καὶ τηλικούτων ἀγαθῶν αἰτίους γεγενημένους; ἀλλὰ γὰρ οὐ δύναμαι διὰ τὴν ἡλικίαν ἅπαντα τῷ λόγῳ περιλαβεῖν, ἃ τυγχάνω τῇ διανοίᾳ καθορῶν. πλὴν ὅτι καλόν ἐστιν, ἐν ταῖς τῶν ἄλλων ἀδικίαις καὶ μανίαις, πρώτους εὖ φρονήσαντας, προστῆναι τῆς τῶν ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας, ἀλλὰ μὴ

corruptores per conuitium dicantur: deinde ſi qui uirtutum ſplendore fuerint conſpicui, hi in priſtini honoris gradum reſtituantur. Porrò caput omnium, in quod hactenus à me dicta contendunt, quodq; reipub. negocijs exiſtimandis reſpicere oportet, illud dicere uere poſſem, nẽpe quod oportet, ſi uolueritis calumnias, quibus hoc tempore male audimus, diſſoluere, ſi à bellis fruſtra iam ſæpe ſuſceptis requieſcere, ſi principatum in omne tempus firmum ac ſtabilẽ nanciſci, odiſſe certe quicquid eſt tyrannicæ ditionis, atq; item inſolenteis potentatus omneis. Semper enim in memoria hærere debent calamitates, quæ ex eo fonte in rempu. manare ſolent. Sed ut hæc uitanda ſunt, ita rurſum admiratione æmulationeq; dignum planè Lacedæmoniorum regnum. Horum enim regibus peccandi licẽtia eſt minor, quàm quibuſuis priuatis. At reges ipſi cæteris qui tyrannidem in ſubditos exercẽt, eo ſunt feliciores, quod qui hos occiderunt, à communis reipu. ciuibus ampliſſima munera accipiunt. Pro illis uero, qui non in pugnæ diſcrimine mortem audent oppetere, abiectiores habentur his qui ordinem deſerunt, & abiectis armis aufugiunt. Quare nõ immerito eiuſmodi principatus multorum uotis eſt obnoxius. Ac nobis quidem, ut nunc ſe res habent, eum honorem, quem illi à ſuis ciuibus habent à Græcis perfacile fuerit impetrare, ſi perſuaſi erunt potentiam noſtram ſibi non ſeruitutis, ſed ſalutis cauſam fore. Porrò cum multæ ſanè, & uariæ orationes ex hoc argumento duci poſſint, mihi tamen finem dicendi facere duo ſuadent, primum huius orationis prolixitas: deinde annorum meorum multitudo. Iuniores autem ac dum magis quam ego ætate uigentes partim cohortor, partim iubeo in hoc genere plura tum dicere, tum ſcribere. Si quidem hac uia maximas ciuitates, & quæ alios ſub iugum mittere cõſueuerunt, ad uirtutẽ, pariter ad iuſticiã perducẽt, uſq; adeo, ut Græcia rebus omnibus florente, & rei literariæ ſtatus in melius prouehatur.

Principatus Lacedæmoniorum.

DIXI.

λυμεῶνας αὐτῶν πληθῦναι, καὶ πλελέους ἐν ἀρετῇ γενομένους, τὴν δόξαν τῶν προγόνων ἀναλαβεῖν. κεφάλαιον δὲ πάντων, ἐκεῖνο ἔχω λέγειν, εἰς ὃ πάντα τὰ προειρημένα συντείνει, καὶ πρὸς ὃ χρὴ βλέποντας τὰς πράξεις τὰς τῆς πόλεως δοκιμάζειν. δεῖ γὰρ ἡμᾶς εἴπερ βουλόμεθα διαλύσασθαι μὲν τὰς διαβολάς, ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι δὲ τῶν πολέμων τῶν μάτην γινομένων, κτήσασθαι δὲ τὴν ἡγεμονίαν εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν ἁπάσας τὰς τυραννικὰς ἀρχὰς καὶ τὰς δυναστείας. ἀναλογιζομένους τὰς συμφορὰς τὰς ἀπ' αὐτῶν γενησομένας, ζηλῶσαι δὲ καὶ μιμήσασθαι τὴν Λακεδαιμονίων βασιλείαν. ἐκείνοις γὰρ ἀδικεῖν μὲν, ἧττον ἔξεστιν, ἢ τοῖς ἰδιώταις. τοσοῦτον δὲ μακαριστότεροι τυγχάνουσιν ὄντες, τῶν βίᾳ, τὰς τυραννίδας κατεχόντων, ὅσον οἱ μὲν τοὺς τοιούτους ἀποκτείναντες, τὰς μεγίστας δωρεὰς παρὰ τῶν συμπολιτευομένων λαμβάνουσιν. ὑπὲρ ἐκείνων δὲ οἱ μὴ τολμῶντες ἐν ταῖς μάχαις ἀποθνήσκειν, ἀτιμότεροι γίνονται τῶν τὰς τάξεις λειπόντων, καὶ ἀσπίδας ἀποβαλλόντων. ἄξιον οὖν ὀρέγεσθαι τῆς τοιαύτης ἡγεμονίας. ἔνεστι δ' ἐν τοῖς τοιούτοις πράγμασιν ἡμᾶς τυχεῖν παρὰ τῶν Ἑλλήνων τῆς τοιαύτης τιμῆς, ἥνπερ ἐκεῖνοι παρὰ τῶν πολιτῶν ἔχουσιν. ἢ ὑπολάβωσι τὴν δύναμιν τὴν ἡμετέραν, μὴ δουλείας, ἀλλὰ σωτηρίας αὐτοῖς αἰτίαν γενέσθαι. πολλῶν δὲ καὶ παντοδαπῶν λόγων ἐνόντων περὶ τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει παύσασθαι λέγοντι, καὶ τὸ μῆκος τοῦ λόγου, καὶ τὸ πλῆθος τῶν ἐμῶν ἐτῶν. τοῖς δὲ νεωτέροις καὶ μᾶλλον ἀκμάζουσιν ἢ ἐγώ, παραινῶ καὶ παρακελεύομαι τοιαῦτα λέγειν καὶ γράφειν, ἐξ ὧν τὰς μεγίστας τῶν πόλεων, καὶ τὰς εἰθισμένας ταῖς ἄλλαις κακὰ παρέχειν, προτρέψουσιν ἐπὶ τὴν ἀρετὴν καὶ δικαιοσύνην, ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις, συμβαίνουσα καὶ τὰ τῶν φιλοσόφων πράγματα, πολλῷ βελτίω γίγνεσθαι.

ΤΕΛΟΣ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ.

LVCIANI TYRANNICIDA, DES. ERASMO ROTERODAMO INTERPRETE.

ARGVMENTVM DECLAMATIONIS.

Quidam in arcem aſcendit, uti Tyrannum occideret: atq; ipſum quidem non repperit, uerum filium eius interemit, gladiumq; in uulnere reliquit. Adueniens Tyrannus, ubi filium extinctum conſpexit, eodem enſe necem ſibi conſciſcit. Is qui aſcenderat, Tyranniq; filium peremerat, præmium tanquam Tyrannicida petit.

DECLAMATIO.

CVM DVOS eodem die Tyrannos occiderim iudices: alterum quidem ætate iã affecta: alterum æuo florentem, & ad ſcelerum ſucceſſionem capeſſendam paratum: unicũ tamen pro ambobus præmium petitum uenio: qui quidem unus omnium quotquot unquam Tyrannicidæ fuerũt, unico uulnere duos maleficos fuerim amolitus, neciq; dederim: filium uidelicet enſe, patrem indulgenti charitate qua filiũ adamabat. Itaq; Tyrannus pro his quæ commiſit, abunde magnas pœnas nobis dependit: quippe qui & uiuus aſpexerit, filiũ prius morte ſublatum: & quod eſt omnium maxime nouum, compulſus ſit deniq; ipſe ſui tyrãnicida fieri. At illius filius mea quidem manu peremptus eſt: cæterum occiſus, alteram ad cædem operam

ΛΟΥΚΙΑΝΟΥ

ΣΑΜΟΣΑΤΕΩΣ ΣΟΦΙΣΤΟΥ ΤΥΡΑΝΝΟΚΤΟΝΟΣ.

Ὑπόθεσις τῆς μελέτης.

Ἀνῆλθέ τις εἰς τὴν ἀκρόπολιν, ὡς ἀποκτενῶν τὸν τύραννον, καὶ αὐτὸν μὲν οὐχ εὗρε, τὸν δὲ υἱὸν αὐτοῦ ἀποκτείνας, κατέλιπε τὸ ξίφος ἐν τῷ σώματι. ἐλθὼν ὁ τύραννος, καὶ τὸν υἱὸν ἰδὼν ἤδη νεκρὸν, τῷ αὐτῷ ξίφει ἑαυτὸν ἀπέκτεινεν, αἰτεῖ ὁ ἀνελθὼν καὶ τὸν τοῦ τυράννου υἱὸν ἀνελὼν γέρας, ὡς τυραννοκτόνος.

Δύο τυράννους ἀποκτείνας, ὦ ἄνδρες δικασταὶ, μιᾶς ἡμέρας, τὸν μὲν ἤδη παρηβηκότα, τὸν δὲ ἀκμάζοντα, καὶ πρὸς διαδοχὴν τῶν ἀδικημάτων ἑτοιμότερον, ἥκω μίαν ὅμως ἐπ' ἀμφοτέροις αἰτήσων δωρεάν. μόνος τῶν πώποτε τυραννοκτόνων πληγῇ μιᾷ δύο πονηροὺς ἀποσκευασάμενος καὶ φονεύσας. τὸν μὲν παῖδα τῷ ξίφει, τὸν πατέρα δὲ τῇ πρὸς τὸν υἱὸν φιλοστοργίᾳ. ὁ μὲν οὖν τύραννος ἀνθ' ὧν ἐποίησεν, ἱκανὴν ἡμῖν δέδωκε τιμωρίαν. ζῶν μὲν τὸν υἱὸν ἐπιδὼν προανῃρημένον παρὰ τὴν τελευτὴν, τελευταῖον δὲ ἠναγκασμένος τὸ παραδοξότατον αὐτὸς αὑτοῦ γενέσθαι τυραννοκτόνος. ὁ παῖς δὲ ὁ ἐκείνου τέθνηκε μὲν ὑπ' ἐμοῦ, ὑπηρέτησε

operam mihi ſuam cõmodauit: dum qui uiuo patri ſcelerum
ſocius fuerat, eiuſdem poſt mortem, quatenus licuit, extitit
parricida. Ego itaq; ſum is, qui tyrannidem ſuſtuli, pariterque
mecum gladius, quo cuncta confecta ſunt, meus: tametſi cæ-
dis ordinem commutarim, ac morem modumq; nouarim cõ
ficiendi ſceleratos: nempe hunc qui ualentior erat, ac ſeſe de-
fendere poterat, ipſe perimens: porrò ſenem ſoli gladio reſer-
uans. His igitur de cauſis & amplius quiddam à uobis me cõ-
ſequuturum arbitrabar: præmiaq; laturũ, quæ numero æqua
rent eos, qui eſſent interempti, utpote qui non præſentibus
modo malis uos leuarim, uerumetiam futurorum formidine:
quiq; ſtabilem pepererim libertatem: nullo relicto qui ſcelerũ
capeſſat ſucceſſionem. Verum interim tantis rebus ſtrenue
peractis, in diſcrimen adducor, ne præmio fraudatus à uobis
diſcedam, ac ne ſolus non feram mercedem, quàm leges à me
ſeruatæ præſtituunt. At qui contra dicit, is mihi uidetur non
reipub. ſtudio, quemadmodum ait, hoc facere, ſed quod extin
ctos eſſe illos grauiter ferat: atq; eum qui illis mortis autor ex-
titit, ulciſci conetur. Vos igitur iudices mihi pauliſper attendi-
te: dum tyrannidis mala tametſi ipſi optime noſtis, comme-
moro. Siquidem hoc pacto futurũ eſt, ut & beneficij mei ma-
gnitudinem intelligatis, & ipſi plus capiatis uoluptatis: reputã
tes nimirum quibus ſitis leuati malis. Neq; enim quemadmo-
dum alijs quibuſdã ſæpenumero accidit, itidem & nos ſimpli
cem tyrannidem atq; unicã ſeruitutẽ ſuſtinebamus: nec unius
domini uiolentiam tolerabamus, uerum ſoli omnium quos ſi-
milis habuit calamitas, duos ꝓ uno tyrãnos habebamus, & in
geminas cõtumelias diſtrahebamur infœlices. Porrò ſenex mul-
to erat moderatior: quippe ad iras lentior, ad ſupplicia ſegnior,
& ad cupiditates tardior: utpote cui iã ætas uehemẽtiã impetus
cohiberet, uoluptatũq; cupiditates refrenaret. Quin ad ſuſcipi
enda maleficia filij inſtinctu nolẽs impelli ferebatur: ipſe alioqui

non.

δὲ μοὶ καὶ ἀποθανὼν πρὸς ἄλλον φόνον. ζῶντι μὲν συναδικῶν τῷ πατρί, μετὰ θάνατον δὲ πατροκτονήσας ὡς ἐδύνατο. τὸ μὲν οὖν τυραννίδα ὁ παύσας εἰμὶ ἐγώ, καὶ τὸ ξίφος ὃ πάντα εἴργασαι ἐμόν. τὴν δὲ τάξιν ἐνήλλαξα τῶν φόνων, καὶ τὸν τρόπον ἐκαινοτόμησα τῆς τῶν πονηρῶν τελευτῆς. τὸν μὲν ἰσχυρότερον καὶ ἀμύνασθαι δυνάμενον αὐτὸς ἀνελών, τὸν γέροντα δὲ μόνῳ παραχωρήσας τῷ ξίφει. ἐγὼ μὲν οὖν καὶ περιττότερόν τι ἐπὶ τούτοις ᾤμην γενήσεσθαί μοι παρ' ὑμῶν, καὶ δωρεὰς λήψεσθαι ἰσαρίθμους τοῖς ἀνῃρημένοις, ὡς ἂν οὐ τῶν παρόντων ἀπαλλάξας ὑμᾶς μόνον, ἀλλὰ καὶ τῆς τῶν μελλόντων κακῶν ἐλπίδος, καὶ τὴν ἐλευθερίαν βέβαιον παρασχών, οὐδενὸς παραλελειμμένου κληρονόμου τῶν ἀδικημάτων. μεταξὺ δὲ κινδυνεύω τοσαῦτα κατορθώσας, ἀγέραστος ἀπελθεῖν παρ' ὑμῶν, καὶ μόνος στέρεσθαι τῆς παρὰ τῶν νόμων ἀμοιβῆς, οὓς διεφύλαξα. ὁ μὲν οὖν ἀντιλέγων οὑτοσὶ δοκεῖ μοι οὐ κηδόμενος ὥς φησι τῶν κοινῶν τοῦτο ποιεῖν, ἀλλ' ἐπὶ τοῖς τετελευτηκόσι λελυπημένος, καὶ ἀμυνόμενος τὸν ἐκείνοις τοῦ θανάτου αἴτιον γεγενημένον. ὑμεῖς δὲ ἀνάσχεσθέ μου ὦ ἄνδρες δικασταὶ πρὸς ὀλίγον τὰ ἐν τῇ τυραννίδι, καίπερ εἰδόσιν ὑμῖν ἀκριβῶς διηγουμένου. καὶ γὰρ τὸ μέγεθος οὕτω μάθοιτ' ἂν τῆς εὐεργεσίας τῆς ἐμῆς, καὶ αὐτοὶ μᾶλλον εὐφρανεῖσθε, λογιζόμενοι ὧν ἀπηλλάγητε. οὐ γὰρ ὡς τοῖς ἄλλοις ἤδη συνέβη πολλάκις ἁπλῆν καὶ ἡμεῖς τυραννίδα καὶ μίαν δουλείαν ὑπεμείναμεν, οὐδ' ἑνὸς ὑπηνέγκαμεν ἐπιθυμίαν δεσπότου, ἀλλὰ μόνοι τῶν πώποτε τὰ ὅμοια δυστυχησάντων, δύο ἀνθ' ἑνὸς τυράννους εἴχομεν, καὶ πρὸς διττὰ οἱ δυστυχεῖς ἀδικήματα διῃρούμεθα. μετριώτερος δὲ ὁ πρεσβύτης ἦν παραπολύ, καὶ πρὸς τὰς ὀργὰς ἠπιώτερος, καὶ πρὸς τὰς κολάσεις ἀμβλύτερος, καὶ πρὸς τὰς ἐπιθυμίας βραδύτερος. ὡς ἂν ἤδη τῆς ἡλικίας τὸ μὲν σφοδρότερον τῆς ὁρμῆς ἐπεχούσης, τὰς δὲ τῶν ἡδονῶν ὀρέξεις χαλιναγωγούσης, καὶ πρός γε τὴν ἀρχὴν τῶν ἀδικημάτων ὑπὸ τοῦ παιδὸς ἄκων προαχθῆναι ἐλέγετο.

nõ admodũ tyrãnicus,niſi qđ illi morẽ gerebat. Siquidẽ indul/
gẽs in filiũ ſupra ꝙ credi queat,erat:id qđ re declarauit,ita ut fi
lius illi eſſet oĩa. Illi parebat:ꝑ uim faciebat quicqd ille iuſſerat:
ſupplicio afficiebat quoſcunqꝫ præceperat,ac prorſus in oĩbus
illi obſecũdabat. In ſumma:filius in patrẽ tyrannũ quendã age
bat:pater filij cupiditatũ ſatelles erat. Tametſi huic ꝓpter ætą/
tem honorem cedebat adoleſcens,ſoloqꝫ imperij nomine tem
perabat:tamen res & caput Tyrannidis erat ipſe. Et quanquã
tutamentum,præſidiũqꝫ principatui ab illo mutuaretᷣ, ſcelerũ
tamen emolumentis ſolus fruebatur. Ille erat qui ſatellites cõti
nebat: qui cuſtodias obtinebat: qui tyrannidem affectantes
è medio tollebat:q inſidias formidabat:ille qui caſtrabat ephe/
bos,qui coniugia uiolabat:illi uirgines producebantur. Tum
ſi quæ cædes,ſi qua exilia,ſi quæ pecuniarum expilationes,de/
lationes,contumeliæ,ea omnia iuuenis temeritate gerebantur.
Porrò ſenex illi obſequebatur,comitemque ſcelerum ſeſe præ/
bebat,ac comprobabat duntaxat filij ſui flagitia. Itaque cum
ea res nobis erat intoleranda:propterea quod quum animi cũ
piditatibus ex imperio poteſtas accedit,nullum flagitijs mo-
dum imponunt:tum illud in primis diſcruciabat,quod proſpi
ceremus diuturnam,uel æternam potius ſeruitutem eam futu
ram:& per ſucceſſionem alij poſt alium domino tradendam
rempub. populumqꝫ homini ſceleſto hæreditatis inſtar ob-
uenturum. Nam id alijs ſpem non exiguam facit,quod apud
ſeſe reputant,quod inter ſe dicunt:at mox coërcebitur:at mox
demorietur:paulo poſt liberi ſumus futuri. Verum de his ni/
hil eiuſmodi ſperabatur: quin potius iam intuebamur,para/
tum Tyrannidis hæredem. Vnde factum eſt,ut ne aggredi
quidem quiſquam fortium ciuium,& qui eadem quæ ego ani
mo ſtatuiſſet,auderet. Sed deſperabatur ab uniuerſis liber/
tas,atque inexpugnabilis tyrannis uidebatur:quippe quum
eſſet cum tam multis confligendum ac dimicandũ. At me ni/
hil iſta deterruerũt:neqꝫ perpenſa negocij difficultate refugi,

neqꝫ ad

οὐ πάνυ τυραννικὸς αὐτὸς ὤν, ἀλλ᾽ εἴκων ἐκείνῳ. φιλότεκνος γὰρ ἐς ὑπερβολὴν ἐγένετο, ὡς ἔδειξε. καὶ πάντα ὁ παῖς ἦν αὐτῷ, καὶ ἐκείνῳ ἐπείθετο, καὶ ἠδίκει ὅσα κελεύοι, καὶ ἐκόλαζεν οὓς προστάττοι, καὶ πάντα ὑπηρέτει, καὶ ὅλως ἐτυραννεῖτο ὑπ᾽ αὐτοῦ, καὶ δορυφόρος τῶν τοῦ παιδὸς ἐπιθυμιῶν ἦν. ὁ νεανίας δὲ τιμῇ μὲν τῆς τιμῆς παρεχώρει καθ᾽ ἡλικίαν ἐκείνῳ, καὶ μόνου ἐξίστατο τοῦ τῆς ἀρχῆς ὀνόματος, τὸ δ᾽ ἔργον τῆς τυραννίδος καὶ τὸ κεφάλαιον αὐτὸς ἦν. καὶ τὸ μὲν πιστὸν καὶ ἀσφαλὲς ἀπ᾽ αὐτοῦ παρεῖχε τῇ δυναστείᾳ, τὴν δὲ ἀπόλαυσιν μόνος ἐκαρποῦτο τῶν ἀδικημάτων. ἐκεῖνος ἦν ὁ τοὺς δορυφόρους συνέχων, ὁ τὴν φρουρὰν κρατύνων, ὁ τοὺς τυραννουμένους ἐκκόπτων, ὁ τοὺς ἐπιβουλεύοντας φοβῶν, ἐκεῖνος ὁ τοὺς ἐφήβους ἀνασπῶν, ὁ ἐνυβρίζων τοῖς γάμοις, ἐκείνῳ αἱ παρθένοι ἀνήγοντο, καὶ εἴ τινες σφαγαί, καὶ εἴ τινες φυγαὶ καὶ χρημάτων ἀφαιρέσεις, καὶ βάσανοι καὶ ὕβρεις, πάντα ταῦτα, τολμήματα ἦν νεανικά. ὁ γέρων δὲ ἐκεῖνος ἠκολούθει καὶ συνηδίκει, καὶ ἐπῄνει μόνον τὰ τοῦ παιδὸς ἀδικήματα, καὶ τὸ πρᾶγμα ἡμῖν ἀφόρητον καθειστήκει. ὅταν γὰρ αἱ τῆς γνώμης ἐπιθυμίαι, τὴν ἐκ τῆς ἀρχῆς ἐξουσίαν προσλάβωσιν, οὐδένα ὅρον ποιοῦνται τῶν ἀδικημάτων. μάλιστα δὲ ἐκεῖνο ἐλύπει, τὸ εἰδέναι μακρὰν, μᾶλλον δὲ ἀΐδιον τὴν δουλείαν ἐσομένην, καὶ ἐκ διαδοχῆς παραδοθησομένην τὴν πόλιν ἄλλοτε ἄλλῳ δεσπότῃ καὶ πονηρῷ, κληρονόμημα γενησόμενον τὸν δῆμον. ὡς τοῖς γε ἄλλοις οὐ μικρά τις ἐλπὶς αὕτη, τὸ λογίζεσθαι καὶ πρὸς αὑτοὺς λέγειν, ἀλλ᾽ ἤδη παύσεται, ἀλλ᾽ ἤδη τεθνήξεται, καὶ μετ᾽ ὀλίγον ἐλεύθεροι γενησόμεθα. ἐπ᾽ ἐκείνου δὲ οὐδὲν τοιοῦτον ἠλπίζετο, ἀλλ᾽ ἑωρῶμεν ἤδη ἕτοιμον τὸν τῆς ἀρχῆς διάδοχον. τοιγαροῦν οὐδ᾽ ἐπιχειρεῖν τις ἐτόλμα τῶν γεννικῶν, καὶ ταὐτὰ ἐμοὶ προαιρουμένων, ἀλλ᾽ ἀπέγνωστο παντάπασιν ἡ ἐλευθερία, καὶ ἄμαχος ἡ τυραννὶς ἐδόκει, πρὸς τοσούτους ἐσομένης τῆς ἐπιχειρήσεως. ἀλλ᾽ οὐκ ἐμὲ ταῦτ᾽ ἐφόβησεν, οὐδὲ τὸ δυσχερὲς τῆς πράξεως λογισάμενος ἀπώκνησα.

neq; ad ſuſcipiendum diſcrimen trepidaui, uerum ſolus: ſolus inquam, aduerſus adeo ualidam, uariamq; Tyrannidem, uel non ſolus potius, ſed gladio comite conſcendi: quippe qui mihi ſit auxiliatus, mecumq; ex parte Tyrannum interemerit, quum mors mihi interim ob oculos obuerſabatur: at è diuerſo perpendenti, quod publicam libertatem mea cæde redempturus eſſem. Ergo ubi in primam irruiſſem cuſtodiam: neq; mediocri negocio ſatellites ſubmouiſſem, occidens interim, in quem incurriſſem, & quicquid obſiſteret amoliens, ad ipſum negocij caput ferebar: ad unicum Tyrānidis robur, ad noſtrarum calamitatum fontē: atq; irrupto arcis propugnaculo, cum uiderem illum fortiter tuentem ſeſe, multiſq; uulneribus reſiſtentem, tamen occidi. Et iam tum erat ſublata Tyrannis, iam tum mihi confectum facinus. Ex eo tempore liberi omnes, niſi quod reliquus adhuc erat ſenex ſolus, inermis, nudatus cuſtodijs: iamq; amiſſo magno illo ſuo ſatellite deſertus, neq; deinde dignus forti dextra. Ibi nimirum mecū ipſe iudices, hæc animo reputabam. Cuncta mihi pulchre habent, cuncta cōfecta ſunt, cuncta eò quo deſtinaram, perducta. At eum qui reliquus eſt, quo tādem modo pœnas dare conuenit? Me quidē, meáque dextera nequaquam eſt dignus: præſertim ſi poſt ſplendidum facinus iuuenile atque magnificum interimatur, priorem illam cædem dedecoraturus. Carnifex aliquis quærendus eſt illo dignus. uerum poſt calamitatem ne uel hanc ipſam lucrifaciat, uideat: diſcrucietur: appoſitum habeat enſem: huic reliqua mando. Hæc ubi mecum ſtatuiſſem, ipſe quidem illinc diſcedo. At ille peregit id, quod ego prædiuinaueram: Tyrannum occidit: ſummamque meæ impoſuit fabulæ. Adſum igitur popularem adminiſtrationem uobis adportans: cunctiſq; bono iam ut animo ſint, edicens, ac libertatem annuncians. Iam meis fruimini factis. Vacua, ſicut uidetis, ſceleratis hominibus arx. Imperat nemo: quin & magiſtratus creare liberum eſt, & cauſas agere, & ex legibus contradicere.

Atq;

οὐδὲ πρὸς τὸν κίνδυνον ἀποδειλιάσας, μόνος δὲ μόνος πρὸς οὕτως ἰσχυρὰν καὶ πολλὴν τὴν τυραννίδα. μᾶλλον δὲ οὐδὲ μόνος, ἀλλὰ μετὰ τοῦ ξίφους, ἀνῄειν τοῦ συμμεμαχημένου, καὶ τὸ μέρος συντετυραννοκτονηκότος, πρὸ ὀφθαλμῶν μὲν τὸν θάνατον ἔχων, ἀλλαξόμενος δὲ ὅμως τὴν κοινὴν ἐλευθερίαν τῆς σφαγῆς τῆς ἐμῆς. ἐντυχὼν δὲ τῇ πρώτῃ φρουρᾷ, καὶ τρεψάμενος οὐ ῥᾳδίως τοὺς δορυφόρους καὶ τὸν ἐντυγχάνοντα κτείνων καὶ τὸ ἀνθιστάμενον πᾶν διαφθείρων, ἐπὶ τὸ κεφάλαιον αὐτὸ τῶν ἔργων ἵεμαι, ἐπὶ τὴν μόνην τῆς τυραννίδος ἰσχύν, ἐπὶ τὴν ὑπόθεσιν τῶν ἡμετέρων συμφορῶν, καὶ ἐπιστὰς τῷ τῆς ἀκροπόλεως φρουρίῳ, καὶ ἰδὼν γεννικῶς ἀμυνόμενον καὶ ἀνθιστάμενον πολλοῖς τραύμασιν, ὅμως ἀπέκτεινα. καὶ ἡ μὲν τυραννὶς ἤδη καθῄρητο, καὶ πέρας εἶχέ μοι τὸ τόλμημα, καὶ τὸ ἀπ' ἐκείνου πάντες ἦμεν ἐλεύθεροι. ἐλείπετο δ' ὁ γέρων ἔτι μόνος, ἄνοπλος, ἀποβεβληκὼς τοὺς φύλακας, ἀπολωλεκὼς τὸν μέγαν ἐκεῖνον αὐτοῦ δορυφόρον, ἔρημος οὐδὲ γενναίας ἔτι χειρὸς ἄξιος. ἐνταῦθα τοίνυν πρὸς ἐμαυτόν, ὦ ἄνδρες δικασταί, τὰ τοιαῦτα ἐλογισάμην. πάντ' ἔχει μοι καλῶς. πάντα πέπρακται. πάντα κατώρθωται. τίνα ἂν ὁ περίλοιπος κολασθείη τρόπον; ἐμοῦ μὲν γὰρ ἀνάξιός ἐστι καὶ τῆς ἐμῆς δεξιᾶς, καὶ μάλιστα ἐπ' ἔργῳ λαμπρῷ καὶ νεανικῷ καὶ γενναίῳ ἀνῃρημένος, καταισχύνει κἀκείνην τὴν σφαγήν. ἄξιον δέ τινα δεῖ ζητῆσαι δήμιον, ἀλλὰ μετὰ τὴν συμφοράν, μὴ δὲ τὴν αὐτὴν κερδαίνειν. ἰδέτω. κολασθήτω. παρακείμενον ἐχέτω τὸ ξίφος. τούτῳ τὰ λοιπὰ ἐντέλλομαι. ταῦτα βουλευσάμενος, αὐτὸς μὲν ἐκποδὼν ἀπηλλαττόμην. ὁ δὲ ὅπερ ἐγὼ προὐμαντευσάμην, διεπράξατο, καὶ ἐτυραννοκτόνησε, καὶ τέλος ἐπέθηκε τῷ ἐμῷ δράματι. πάρειμι οὖν, κομίζων ὑμῖν τὴν δημοκρατίαν, καὶ θαρρεῖν ἤδη προκηρύττων ἅπασι, καὶ τὴν ἐλευθερίαν εὐαγγελιζόμενος. ἤδη οὖν ἀπολαύετε τῶν ἔργων τῶν ἐμῶν. κενὴ μὲν ὡς ὁρᾶτε πονηρῶν ἡ ἀκρόπολις. ἐπιτάττει δὲ οὐδείς, ἀλλὰ καὶ τιμᾶν ἔξεστι καὶ δικάζειν καὶ ἀντιλέγειν κατὰ τοὺς νόμους,

καὶ πάντα

Atq; hæc omnia uobis mea contigerunt opera, meaq; fortitudine: uidelicet ex una illa cæde, poſt quã pater iam uiuere non quibat. Aequum itaq; cenſeo, ut his pro meritis debitum mihi à uobis præmium donetur: non quod lucri auidus, aut ſordidus quiſpiam ſim: nec is qui mercedis gratia de patria benemereri ſtatuerim: uerum quod præmio cupiam officia mea comprobari, neq; repudiari, aut inglorios fieri conatus meos, ſi uelut irriti, præmioq; indigni iudicentur. At hic contradicit, negatq; æquum facere me, qui decorari munere, præmiumq; ferre cupiam. Neq; enim Tyrannicidam eſſe me, neq; quicquam à me pro legis ſententia confectum eſſe: uerum facinori meo deeſſe quiddam, ad hoc ut præmium poſtulem. Percõtor igitur illum, quid præterea requiris à me? Nonne uolui? Nonne aſcendi? Nonne occidi? Nonne libertatem peperi? Num quis imperat? Num quis iubet? Num quis minitatur dominus? Nũ quis nocẽtium manus effugit meas? Haudquaquam dixeris. Sed omnia plena pacis: omnes reſtitutæ leges: libertas manifeſta. Democratia ſtabilis: inuiolata connubia: pueri tuti: uirgines abſq; periculo: publiciamque felicitatem ſolennibus ferijs celebrat ciuitas. Quis igitur horum omnium autor? Quis eſt qui illa ſuſtulit? hæc peperit? Etenim ſi quiſquam præ me dignus honore ſit, cedam præmium: deſiſtam à petendo munere. Quod ſi ſolus omnia peregi, audens, periclitans, aſcendens, interimens, excrucians, alterum ultus in altero: quid mea calũniaris officia? Quur facis ut populus parum erga me gratus exiſtat? At enim num occidiſti Tyrannum? Porrò lex Tyrannicidæ præmium decernit. Verum dic mihi: nunquid intereſt, utrum ipſe interimas, an mortis cauſam miniſtres? Mea profecto ſententia, nihil. Verum hoc ſolum ſpectauit legis cõditor: libertatẽ, Democratiam, ſceleratorũ ſublationẽ. Huic honorẽ decreuit: hoc præmio dignũ iudicauit: quod quidem inficiari non potes, quin mea contigerit opera. Etenim ſi occidi eum: quo occiſo, ille non poterat uiuere, nimirũ ipſe cædem peregi.

καὶ πάντα ταῦτα γεγένηται δι' ἐμὲ ὑμῖν, καὶ διὰ τὴν τόλμαν τὴν ἐμήν, καὶ τὸν ἑνὸς ἐκείνου φόνον, μεθ' ὃν οὐκ ἔτι ζῆν πατὴρ ἐδύνατο. ἀξιῶ δ' οὖν ἐπὶ τούτοις, τὴν ὀφειλομένην δοθῆναί μοι παρ' ὑμῶν δωρεάν, οὐ φιλοκερδής, οὐδὲ μικρολόγος τις ὤν, οὐδ' ἐπὶ μισθῷ τὴν πατρίδα εὐεργετεῖν προῃρημένος, ἀλλὰ βεβαιωθῆναί μοι βουλόμενος τὰ κατορθώματα τῇ δωρεᾷ, καὶ μὴ διαβληθῆναι, μηδ' ἄδοξον γενέσθαι τὴν ἐπιχείρησιν τὴν ἐμήν, ὡς ἀτελῆ καὶ γέρως ἀναξίαν κεκριμένην. οὑτοσὶ δὲ ἀντιλέγει καὶ φησίν, οὐκ εὔλογον ποιεῖν με τιμᾶσθαι θέλοντα, καὶ δωρεὰν λαμβάνειν, οὐ γὰρ εἶναι τυραννοκτόνον οὐδὲ πεπρᾶχθαί μοί τι κατὰ τὸν νόμον, ἀλλ' ἐνδεῖν τι τῷ ἔργῳ τῷ ἐμῷ, πρὸς ἀπαίτησιν τῆς δωρεᾶς. πυνθάνομαι τοίνυν αὐτοῦ τί λοιπὸν ἀπαιτεῖς παρ' ἐμοῦ; οὐκ ἐβουλήθην; οὐκ ἀνῆλθον; οὐκ ἐφόνευσα; οὐκ ἠλευθέρωσα; μή τις ἐπιτάττει; μή τις κελεύει; μή τις ἀπειλεῖ δεσπότης; μή τις με τῶν κακούργων διέφυγεν; οὐκ ἂν εἴποις, ἀλλὰ πάντα εἰρήνης μεστά, καὶ πάντες οἱ νόμοι, καὶ ἐλευθερία σαφής, καὶ δημοκρατία βέβαιος, καὶ γάμοι ἀνύβριστοι, καὶ παῖδες ἀδεεῖς, καὶ παρθένοι ἀσφαλεῖς, καὶ ἑορτάζουσα τὴν κοινὴν εὐτυχίαν ἡ πόλις. τίς οὖν ὁ τούτων ἁπάντων αἴτιος; τίς ὁ ἐκεῖνα μὲν παύσας, τάδε παρεσχημένος; εἰ γάρ τις ἔστι τοῦ πρὸ ἐμοῦ τιμᾶσθαι δίκαιος, παραχωρῶ τοῦ γέρως, ἐξίσταμαι τῆς δωρεᾶς. εἰ δὲ μόνος ἐγὼ πάντα διεπραξάμην, τολμῶν, κινδυνεύων, ἀνιών, ἀναιρῶν, κολάζων, δι' ἀλλήλων τιμωρούμενος, τί μου διαβάλλεις τὰ κατορθώματα; τί δὲ ἀχάριστον πρός με τὸν δῆμον ποιεῖς εἶναι; οὐ γὰρ αὐτὸν ἐφόνευσα τὸν τύραννον. ὁ δὲ νόμος τυραννοκτόνῳ δίδωσι τὴν δωρεάν. διαφέρει δὲ εἰπέ μοι τί ἢ αὐτὸν ἀνελεῖν, ἢ τοῦ θανάτου παρασχεῖν τὴν αἰτίαν; ἐγὼ μὲν οὐδὲν οἶμαι. ἀλλὰ τοῦτο μόνον ὁ νομοθέτης εἶδε τὴν ἐλευθερίαν, τὴν δημοκρατίαν, τὴν τῶν δεινῶν ἀπαλλαγήν, τοῦτ' ἐτίμησε, τοῦτ' ἄξιον ἀμοιβῆς ὑπέλαβεν, ὅπερ οὐκ ἂν εἴποις μὴ δι' ἐμὲ γεγενῆσθαι. εἰ γὰρ ἐφόνευσα δι' ὃν ἐκεῖνος ζῆν οὐκ ἐδύνατο, αὐτὸς εἴργασμαι τὴν σφαγήν.

Ego occidi, ſed illius manu. Itaq; ne diſcepta de cædis modo, neq; illud expende quemadmodum interierit: uerum an iam perierit, & an quod perijt, id à me ſit profectum. Quandoquidem & illud excuſſurus mihi uideris: atq; his aduerſus bene de repu. meritos calumnijs uſurus. Si quis non gladio, uerū lapide, lignóue, aut alio quouis pacto peremerit. Quid porrò ſi fame Tyrannum obſediſſem, ad mortis neceſſitatem cōpellens, num ibi quoq; requiſiturus eras à me cædem, mea ipſius manu peractam? aut deſiderari adhuc quiddam diceres, ad id ut legi factum à me ſatis uideatur, atq; id cum ſceleſtum acerbius etiam atq; atrociore mortis genere trucidaſſem? Vnum hoc duntaxat ſpecta, hoc require, hoc excute. Quis nocentiū reliquus, aut quæ metus expectatio, aut quod calamitatum ueſtigium? Quod ſi purgata omnia, ſi pacata: profecto ſycophanticum eſt, modum rei geſtæ calumniantem præmio fruſtrari uelle, quod ijs quæ uirtute confecta ſunt debeatur. Equidem & illud memini diſſertum in legibus: niſi forte propter diutinam ſeruitutem oblitus ſum eorum, quæ ab illis dicūtur: Cauſam mortis eſſe duplicē, puta, ſi quis ipſe occidat, aut ſi nō ipſe quidem occidit, neq; manu facinus peregit, uerum cōpulit, præbuitq; mortis occaſionem: ex æquo & hunc quoq; lex cenſet ſupplicio affici oportere, idq; iure optimo. Neq; enim ſtatuit minus ualere oportere audaciā, quàm facinus. Ac poſtea ſuperuacaneum eſt cædis rationem, uiamq; ſpectare. Deinde hunc qui ſic occiderit, tanquam homicidam pœnas oportere dare cenſebis, ac nequaquam abſoluendum eſſe. At me qui per omnia conſimili modo rempu. iuui, non cenſes ea capere oportere, quæ ijs debētur, qui beneficio iuuerunt? Neq; enim illud dicere poſſis, me quidem imprudentem feciſſe, ſed exitū quendam cōmodum fortuitu fuiſſe conſequutū præter animi ſententiam. Nam quid præterea iam formidaſſem, eo qui ualidior erat interempto? Cur autem gladium in uulnere reliquiſſem, niſi planè quod erat euenturū, id ipſum prædiuinaſſem?

Niſi

ἐμὸς ὁ φόνος, ἡ χεὶρ ἐκείνου. μὴ τοίνυν ἀκριβολογοῦ ἔτι περὶ τοῦ τρόπου τῆς τελευτῆς. μὴ δ' ἐξέταζε ὅπως ἀπέθανεν, ἀλλ' εἰ μηκέτ' ἔστιν εἰ δι' ἐμὲ τὸ μηκέτ' εἶναι ἔχει. ἐπεὶ κἀκεῖνο προσεξετάζειν μοὶ δοκεῖς, καὶ συκοφαντήσειν τοὺς εὐεργέτας, εἴ τις μὴ ξίφει, ἀλλὰ λίθῳ, ἢ ξύλῳ, ἢ ἄλλῳ τῷ τρόπῳ ἀπέκτεινεν. τί δὲ εἰ λιμῷ ἐξεπολιόρκησα τὸν τύραννον, τὴν ἀνάγκην τῆς τελευτῆς παρέχων, ἀπῄτεις ἂν καὶ τότε παρ' ἐμοῦ αὐτόχειρα τὴν σφαγὴν, ἢ ἐνδεῖν ἔλεγές μοι τί πρὸς τὸν νόμον, καὶ ταῦτα χαλεπώτερον τοῦ κακούργου πεφονευμένου; ἓν μόνον ἐξέταζε· τοῦτ' ἀπαίτει. τοῦτο πολυπραγμόνει. τίς τῶν πονηρῶν λείπεται, ἢ τίς ἐλπὶς τοῦ φόβου, ἢ τί ὑπόμνημα τῶν συμφορῶν; εἰ δὲ καθαρὰ πάντα καὶ εἰρηνικὰ, συκοφαντοῦντός ἐστι τῷ τρόπῳ τῶν πεπραγμένων χρωμένου, ἀποστερεῖν ἐθέλειν τὴν ἐπὶ τοῖς πεπονημένοις δωρεάν. ἐγὼ δὲ καὶ τοῦτο μέμνημαι διηγορευμένον ἐν τοῖς νόμοις, εἰ μὴ διὰ τὴν πολλὴν δουλείαν ἐπιλέλησμαι τῶν ἐν αὐτοῖς εἰρημένων, αἰτίας θανάτου εἶναι διττὰς, εἴ τις αὐτὸς ἀπέκτεινεν, ἢ εἴ τις μὴ αὐτὸς μὲν ἀπέκτεινε, μὴ δὲ τῇ χειρὶ ἔδρασε τὸ ἔργον, ἠνάγκασε δὲ καὶ παρέσχεν ἀφορμὴν τοῦ φόνου τὰ ἴσα. καὶ τοῦτον ἀξιοῖ ὁ νόμος ἀντικολάζεσθαι, μάλα δικαίως. οὐ γὰρ ἐβούλετο τοῦ πεπραγμένου, ἴσον γίγνεσθαι τὸ τῆς ἀδείας, καὶ περιττὴ λοιπὸν ἡ ἐξέτασις, τοῦ τρόπου τῆς σφαγῆς. εἶτα τὸν μὲν οὕτως ἀποκτείνοντα, κολάζειν ὡς ἀνδροφόνον δικαιοῖς, καὶ οὐδαμῶς ἀφεῖσθαι θέλεις, τὸν δὲ κατὰ τὸν αὐτὸν τούτῳ τρόπον εὖ πεποιηκότα τὴν πόλιν, οὐ τῶν ὁμοίων ἀξιώσεις τοῖς εὐεργέταις; οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοις λέγειν, ὡς ἐγὼ μὲν ἁπλῶς, αὐτὸ ἔπραξα, ἠκολούθησε δέ τι τέλος ἄλλως χρηστὸν, ἐμοῦ μὴ θελήσαντος. τί γὰρ ἔτι ἐδεδίειν, τοῦ ἰσχυροτέρου πεφονευμένου; τί δὲ κατέλιπον τὸ ξίφος ἐν τῇ σφαγῇ, εἰ μὴ πάντως τὸ ἐσόμενον αὐτὸ προεμαντευόμην.

Niſi forſan illud dices: hunc qui extinctus eſt, Tyrannum nō eſſe: neq; hanc appellationem in illum competere: neque uos multum præmij hoc nomine, ſi ille fuiſſet occiſus, decreturos fuiſſe. Atqui iſtud dicere non queas. An Tyranno interempto, ei qui cædis cauſam miniſtrauit, præmium negabis? O curioſitatem: de illo laboras, quo pacto interierit, quum interim libertate fruaris? Aut ab eo qui democratiam reſtituit, neſcio quid ſuperuacaneum præterea requiris? Atqui lex, uti fateris, caput rei geſtæ ſpectat. Quæ uero ad id conducunt, ea omnia miſſa facit, neque iam ultra curioſius excutit. Quid enim, an ſi Tyrannum exegerit quiſpiam, non is iam Tyrannicidæ præmium cepiſſet? cepiſſet opinor: idq; iure optimo. Siquidem & hic pro ſeruitute libertatem peperiſſet. At id quod à me patratum eſt, non exilium habet, non in poſterum inſtaurandæ Tyrannidis metum, uerum abſolutam ſublationem, totiusq; generis internitionem, omneq; malum radicitus exciſum. Et mihi, per deos, iam ab initio ad finem uſq;, ſi uidetur, rem totam perpendite: nunquid eorum quæ ad leges pertinent ſit prætermiſſum: & nunquid in me deſideretur ex his, quæ Tyrannicidæ oportebat adeſſe. Principio mentem prius oportet ſuppetere fortem, & amātem reip. quæq; pro cōmunibus cōmodis periculum adire non recuſet, quæq; priuato ſuo interitu multitudinis incolumitatē auſit redimere. Num hac parte quicquam mihi defuit? Num frangebar animo? Num quum præſcirem per quæ pericula mihi perrumpendum eſſet, per ignauiam refugi? Profecto non potes dicere. In hac interim parte tantum commorare, atque æſtima: an non uel uoluiſſe tantum iſta, ac ſtatuiſſe, præclarum facinus futurum fuiſſe uideatur? Ac putato me ſolius animi, uolūtatisq; argumēto præmiū poſtulare, tanq; qui beneficio iuuerit. Tū ſi uolūtati meæ facultas defuiſſet, uerum alius poſt me Tyrannū occidiſſet, dic mihi, num abſurdum aut præter æquum fuerat dare præmiū? Maxime. Si dicerē: ciues, uolui, ſtatui, aggreſſus ſū: uoluntatis

ἐκτὸς εἰ μὴ τοῦτο φῄς, ὡς οὐ τύραννος ὁ τεθνεὼς ἦν, οὐδὲ ταύτης ἐτύχε τῆς προσηγορίας, οὐδὲ δωρεὰς ἐπ' αὐτῷ πολλάς, εἰ ἀποθάνοι, ἡδέως ἂν ἡμᾶς ἐδώκατε. ἀλλ' οὐκ ἂν εἴποις. εἶτα τοῦ τυράννου πεφονευμένου, διὰ τὴν αἰτίαν παρασχόντι τῆς σφαγῆς οὐκ ἀποδώσεις τὴν δωρεάν. ὦ τῆς πολυπραγμοσύνης. μέλει δέ σοι πῶς ἀπέθανεν, ἀπολαύοντι τῆς ἐλευθερίας, ἢ τὸν τὴν δημοκρατίαν ἀποδεδωκότα περιττότερόν τι προσεπαιτεῖς; καί τοι ὅ γε νόμος ὡς φῄς, τὸ κεφάλαιον ἐξετάζει τῶν πεπραγμένων, τὰ διὰ μέσου δὲ πάντα ἐᾷ, καὶ οὐκ ἔτι πολυπραγμονεῖ. τί γάρ; καὶ οὐχὶ ἐξελάσας τις τύραννον, ἤδη τιμὴν ἔλαβε τυραννοκτόνου; καὶ μάλα δικαίως. ἐλευθερίαν γὰρ κἀκεῖνος ἀντὶ δουλείας παρέσχηται. τὸ δὲ ὑπ' ἐμοῦ γεγενημένον, οὐ φυγή, οὐδὲ δευτέρας ἐπαναστάσεως ἐλπίς, ἀλλὰ παντελὴς καθαίρεσις, καὶ πανωλεθρία παντὸς τοῦ γένους, καὶ ῥιζόθεν τὸ δεινὸν ἅπαν ἐκκεκομμένον. καί μοι πρὸς θεῶν ἤδη ἀπ' ἀρχῆς ἐς τέλος εἰ δοκεῖ πάντα ἐξετάσατε, εἴ τι τῶν πρὸς τὸν νόμον παραλέλειπται, καὶ εἰ ἐνδεῖ τῶν προσεῖναι ὀφειλόντων τυραννοκτόνῳ. πρῶτα μὲν δή, γνώμην προϋπάρχειν χρὴ γενναίαν, καὶ φιλόπολιν, καὶ πρὸ τῶν κοινῶν κινδυνεύειν ἐθέλουσαν, καὶ τῷ οἰκείῳ θανάτῳ τὴν τῶν πολλῶν σωτηρίαν ὠνησομένην. ἆρ' οὖν πρὸς τοῦτο ἐνεδέησα; ἐμαλακίσθην; ἢ προειδόμενός τινα τῶν διὰ μέσου κινδύνων ἀπώκνησα; οὐκ ἂν εἴποις. μένε τοίνυν ἐπὶ τούτου ἔτι μόνου, καὶ νόμιζε τῷ θελῆσαι μόνον, καὶ τῷ βουλεύσασθαι ταῦτα, εἰ καὶ μὴ χρηστὸν ἀποβεβήκει, ἐκ τῆς γνώμης αὐτῆς καταστάντα με, γέρας ἀξιοῦν, ὡς εὐεργέτην λαμβάνειν. ἐμοῦ μὲν οὐ δυνηθέντος, ἄλλου δὲ μετ' ἐμὲ, τυραννοκτονηκότος, ἄλογον εἰπέ μοι, ἢ ἀγνώμον ἦν παρασχεῖν; καὶ μάλιστα εἰ ἔλεγον ἄνδρες, ἐβουλόμην, ἠθέλησα, ἐπεχείρησα,

uoluntatis experimentũ dedi, ſolus dignus ſum qui præmium feram. Quid tum reſponſurus fueras? Nunc porrò nõ hoc dico, ſed inſuper aſcendi, periclitatus ſum, atq; innumerabilia priuſquam iuuenem occiderem, patraui. Neq; enim uſq; adeo facilem, factuq; procliuem eſſe rem exiſtimetis, cuſtodias perrũpere, ſatellites opprimere, unumq; hominẽ tam multos amoliri. Quin iſthuc penè maximum eſt omnium, quæ ſunt in Tyrannicidio, totiusq; negocij caput. Nam ipſe iam Tyrãnus nõ magna res eſt, neq; expugnatu, neq; confectu difficilis, uerum ea quæ tuentur continentq; Tyrannidem: quæ quidẽ ſi quis ſuperarit, is nimirum cuncta quæ deſtinauit, peregerit, & perpuſillũ eſt id quod ſupereſt. Sed ad Tyrannos peruenire nũquam mihi cõtigiſſet, ni prius qui illum cingunt cuſtodes oppreſſiſſem, omneſq; ſatellites ante debellaſſem. Nihil adhuc addo, uerũ in his rurſum immoror. Cuſtodiã oppreſſi, ſatellites ſuperaui. Tyrannum incuſtoditum, inermẽ, nudum reddidi. Vtrum his rebus confectis, non tibi uideor honore dignus, an adhuc cædem ipſam à me requires? Quinetiam ſi cædem quæris, ne ea quidem deſiderabitur. Nõ ſum incruentus, uerũ cædem peregi, magnã ac ſtrenuam, nempe iuuenis ætate ac uiribus florentis, atq; omnibus formidandi, per quẽ ille ab inſidijs erat tutus, cui uni fidebat, qui complurium ſatellitũ inſtar erat. An non igitur, quæſo te, præmio dignus uideor, ſed tantis rebus geſtis honore fraudabor? Quid enim ſi ſatellitem unũ, atq; adeo quid ſi Tyrãni miniſtrum quẽpiam interemiſſem? Quid ſi ſeruum aliquem charum? an non hoc quoq; magnum uiſum fuiſſet, cõſcendiſſe, mediaq; in arce, medijs in armis, aliquem è Tyranni familiaribus iugulare? Nunc & hunc ipſum qui occiſus eſt, cuiuſmodi ſit conſidera. Filius erat Tyranni, uel Tyrannus potius, crudelior, dominus intolerabilior, ad ſupplicia dirior, ad contumelias uiolentior, quodq; eſt maximum, hæres ac ſucceſſor omniũ, quiq; in longum noſtras calamitates poſſet prorogare. Vin' hoc ſolum mihi cõfectũ eſſe?

Ipſum

ἐπέραινον τῆς γνώμης, μόνος ἄξιός εἰμι λαβεῖν. τί ἂν ἀπεκρίνω τότε;
τοῦ δὲ, ὃν ἐγώ φημι, ἀλλὰ καὶ ἀντῆλθον, καὶ ἐκινδύνευσα, καὶ μυρία πρὸ τῆς
τοῦ νεανίσκου σφαγῆς ἐποίησα. μὴ γὰρ οὕτω ῥᾷστον μηδὲ εὐχερὲς ὑπολά-
βητε εἶναι τὸ πρᾶγμα, φρουρὰν ὑπερβῆναι, καὶ δορυφόρων κρατῆσαι, καὶ
τρέψασθαι τοσούτους μόνον, ἀλλὰ σχεδὸν τὸ μέγιστον ἐν τῇ τυραννοκτο-
νίᾳ, καὶ τὸ κεφάλαιον τοῦ ἔργου, τοῦτό ἐστι. οὐ γὰρ δὴ αὐτός γε ὁ τύραννος μέγα καὶ
δυσάλωτον, καὶ δυσκατέργαστόν ἐστιν, ἀλλὰ τὰ φρουροῦντα καὶ συνέχοντα
τὴν τυραννίδα, ἃ ἤν τις ἂν νικήσῃ. πάντα οὗτος κατώρθωσε, καὶ τὸ λοι-
πὸν, ὀλίγον. τὸ δὲ δὴ ἄχρι τῶν τυράννων προσελθεῖν, οὐκ ἂν ὑπῆρξέ
μοι, μὴ οὐχὶ τῶν περὶ αὐτοὺς φυλάκων καὶ δορυφόρων ἁπάντων κεκρα-
τηκότι, κἀκείνους ἅπαντας προνενικηκότι, οὐδὲν ἔτι προστίθημι, ἀλλ᾽
ἐπὶ τούτων αὖθις μένω, φυλακῆς ἐκράτησα, δορυφόρους ἐνίκησα, τὸν τύ-
ραννον ἀφύλακτον, ἄνοπλον, γυμνὸν ἀπέδωκα. ἆρ᾽ οὖν ἄξιος ἐπὶ τού-
τοις εἶναί σοι δοκῶ, ἢ ἔτι ἀπαιτεῖς παρ᾽ ἐμοῦ τὸν φόνον; ἀλλ᾽ εἰ καὶ φό-
νον ζητεῖς, οὐδὲ τοῦτ᾽ ἐνδεῖ, οὐδὲ ἀναίμακτός εἰμι, ἀλλ᾽ εἴργασμαι με-
γάλην καὶ γενναίαν σφαγὴν νεανίσκου ἀκμάζοντος, καὶ πᾶσι φοβεροῦ.
δι᾽ ὃν ἀνεπιβούλευτος κἀκεῖνος ἦν, ᾧ μόνῳ ἐθάρρει, ὃς ἀντὶ πολλῶν ἤρκει
δορυφόρων. ἆρ᾽ οὖν οὐκ ἄξιος ὦ οὗτοι δωρεᾶς, ἀλλ᾽ ἄτιμος ἐπὶ τηλι-
κούτοις γένωμαι; τί γὰρ εἰ δορυφόρον ἕνα, τί δὲ εἰ ὑπηρέτην τινὰ τοῦ τυράν-
νου ἀπέκτεινα; τί δ᾽ εἰ οἰκέτην τίμιον; οὐ μέγα ἂν ἔδοξε, καὶ τὸν ἀνελ-
θόντα ἐν μέσῃ τῇ ἀκροπόλει, ἐν μέσοις τοῖς ὅπλοις φόνον ἀνδρὸς ἐρ-
γάσασθαι τοῦ τυράννου φίλων; νῦν δὲ καὶ τὸν πεφονευμένον αὐτὸν ἴδε. υἱὸς
ἦν τυράννου, μᾶλλον δὲ τύραννος χαλεπώτερος καὶ δεσπότης ἀπαραί-
τητος, καὶ κολαστὴς ὠμότερος, καὶ ὑβριστὴς βιαιότερος. τὸ δὲ μέγιστον, κλη-
ρονόμος τῶν ὅλων καὶ διάδοχος, καὶ ἐπιπολὺ παρατεῖναι τὰς ἡμετέ-
ρας συμφορὰς δυνάμενος. βούλει τοῦτο μόνον πεπρᾶχθαι μοι,

ζῆν δὲ

Ipſum uero Tyrannum uiuere adhuc,fuga ereptum? Iam horum nomine præmium poſtulo. Quid dicitis? Non dabitis? An non & illum uerebamini? An non dominus ,an non grauis,an non intolerandus erat? Porrò nunc negocij caput ,deniq; ipſum perpendite. Etenim quod hic à me requirit , hoc quàm fieri potuit ,pulcherrime confeci. Tyrannumq; aliena cæde occidi,non ſimpliciter ,nec uulnere uno ,id quod fuerat optatiſſimum illi,uidelicet tantorum facinorum ſibi conſcio, ſed poſtea quàm illum prius multo dolore excarnificaſſem: tum,quo nihil habebat charius ,miſerabiliter proſtratum coram oculis oſtendens,puta filium in ipſo æui flore,tametſi ſceleſtum quidem illum,attamen & ætate uigentem ,& patri ſimilem,ſanguine tabóque oppletum. Hæc nimirum ſunt parentum uulnera,hij gladij uerorum Tyrannicidarũ.hæc mors digna crudelibus Tyrannis ,hæc ultio tantis ſceleribus congruit. Cæterum protinus interire,protinus excidere ſibi ,neq; huiuſmodi ullum ſpectare ſpectaculum,profecto nihil habet Tyrannico ſupplicio dignum.Neque enim ignorabam uir egregie:non ignorabam,inquàm, neque quenquam alium latuit,quanta ille charitate filium ſit proſequutus:adeo ut illo extincto,ne paulul um quidem temporis ſibi in uita morandum eſſe fuerit ducturus. Atqui haud ſcio ,an omnes patres hunc ad modum affecti ſint erga liberos:uerum hic etiam ultra reliquos habebat quiddam,idq; merito:quippe qui conſpiceret illum unicum eſſe qui curaret,ſeruarétque Tyrannidem ,q(ui)q; ſolus pro patre pericula ſuſciperet ,& tutamen imperio adderet.Itaque ſi non ob charitatem ,certe ob rerum deſperationem ſciebam illum protinus exiturum è uita: perpenſurum enim,iam nihil eſſe cur uelit uiuere,adempto tutamine,quod illi filius miniſtrauerat. Nimirum effeci , ut hæc omnia illum agminatim circumſiſterent,forma,dolor,deſperatio,formido: quiq; in poſterum imminebant metus:his aduerſus illum auxilijs ſum uſus ,atque ad id extremum illud conſilium adegi.

Interijt

ζῆν δὲ ἔτι τὸν τύραννον διαπεφευγότα; γέρας δὴ ἐπὶ τούτοις αἰτῶ. τί φατέ; οὐ δίκαιον; οὐχὶ κἀκεῖνον ὑφεωρᾶσθε; οὐ δεσπότης; οὐ βαρύς, οὐκ ἀφόρητος ἦν; νῦν δέ, καὶ τὸ κεφάλαιον αὐτὸ ἐννοήσατε. ὃ γὰρ ὄντως ἀπαιτεῖ παρ' ἐμοῦ, τοῦτο ὡς ἐνῆν, ἄριστα διεπραξάμην, καὶ τὸν τύραννον ἀπέκτεινα ἑτέρῳ φόνῳ, οὐχ ἁπλῶς, οὐδὲ πληγῇ μιᾷ, ὅπερ εὐκταιότατον ἦν αὐτῷ, ἐπὶ τηλικούτοις ἀδικήμασι, ἀλλὰ λύπῃ προβασανίσας πολλῇ, καὶ ἐν ὀφθαλμοῖς δείξας τὰ φίλτατα οἰκτρῶς προκείμενα, υἱὸν ἐν ἡλικίᾳ, εἰ καὶ πονηρόν, ἀλλ' οὖν καὶ ἀκμάζοντα, καὶ ὅμοιον τῷ πατρί, αἵματος καὶ λύθρου ἐμπεπλησμένον. ταῦτ' ἐστὶ πατέρων, τὰ τραύματα, ταῦτα ξίφη δικαίων τυραννοκτόνων. οὗτος θάνατος ἄξιος ὠμῶν τυράννων. αὕτη τιμωρία πρέπουσα τοσούτοις ἀδικήμασι. τὸ δ' εὐθὺς ἀποθανεῖν, τὸ δὲ εὐθὺς ἀγνοῆσαι, τὸ δὲ μηδὲν τοιοῦτο θέαμα ἰδεῖν οὐδὲν ἔχει τυραννικῆς κολάσεως ἄξιον. οὐ γὰρ ἠγνόουν, ὦ οὗτος, οὐκ ἠγνόουν, οὐδὲ τῶν ἄλλων οὐδείς, ὅσην ἐκεῖνος εὔνοιαν πρὸς τὸν υἱὸν εἶχε, καὶ ὡς οὐκ ἂν ἠξίωσεν ἐπιβιῶναι οὐδ' ὀλίγον αὐτῷ χρόνον. πάντες μὲν γὰρ πατέρες ἴσως πρὸς τοὺς παῖδας τοιοῦτοι. ὁ δέ, καὶ περιττότερόν τι τῶν ἄλλων εἶχεν. εἰκότως, ὁρῶν μόνον ἐκεῖνον κηδεμόνα, καὶ φύλακα τῆς τυραννίδος, καὶ μόνον προκινδυνεύοντα τοῦ πατρός, καὶ τὴν ἀσφάλειαν τῇ ἀρχῇ παρεχόμενον. ὥστε εἰ καὶ μὴ διὰ τὴν εὔνοιαν, ἀλλὰ διὰ τὴν ἀπόγνωσιν εὐθὺς ἠπιστάμην τεθνηξόμενον αὐτόν, καὶ λογιούμενον, ὡς οὐδὲν ἔτι τοῦ ζῆν ὄφελος τῆς ἐκ τοῦ παιδὸς ἀσφαλείας καθῃρημένης. ἅπαντα τοίνυν αὐτῷ ἀθρόα περιέστησα, τὴν φύσιν, τὴν λύπην, τὴν ἀπόγνωσιν, τὸν φόβον, τὰς ἐπὶ τῶν μελλόντων ἐλπίδας χρόνων. ἐπ' αὐτὸν ἐχρησάμην τοῖς συμμάχοις καὶ πρὸς τὴν τελευταίαν ἐκείνην σκέψιν κατηνάγκασα.

Interijt itaq; uobis orbus,excruciatus,plorãs,lachrymans.Lu-
xit luctum,non illum quidem diuturnum,uerum qui ſatis ma
gnus eſſet patri.Poſtremo quod eſt omnium acerbiſſimũ,ipſe
ſibi necem conſciuit:quod quidem mortis genus, præ cæteris
miſerrimum.multóq; atrocius,ꝙ ſi per aliũ inferatur. Vbi mi-
hi gladius? Num quis alius eum agnoſcit? Num cuius alterius
hoc geſtamen erat? Quis eum in arcem induxit? Ante Tyrã-
num quis eo eſt uſus? Quis eum ad illum miſit? O enſis parti-
ceps,ſucceſſorq; meorum egregie factorum, poſt tanta peri-
la,poſt tantas cædes cõtemnimur,& indigni præmio iudica-
mur.Nam ſi huius tantum nomine præmium à uobis poſtula
rem,ſi ſic dicerem iudices,Tyrãnum quum mori uellet,quum
id temporis inermem ſe deprehendiſſet , meus hic illi gladi-
us inſeruiuit,& ad conſequendam libertatem auxilio fuit uni-
uerſis,hunc quoq; laude,præmióq; dignum iudicaſſetis. Por-
rò domino tam popularis rei non gratiam retuliſſetis? Nõne
inter eos qui de Rep.benemeriti ſunt,ſcripſiſſetis? Nónne gla
dium inter ſacra monumenta cõſecraſſetis? Non illum ſecun-
dum deos ueneraremini? Nunc mihi conſiderate , quæ uériſi-
mile eſt feciſſe Tyrannũ,quæ dixiſſe,priuſq; ſibi mortem con
ſciſceret.Quũ iuuenis à me trucidaretur,ac multis etiã uulne-
ribus cõfoderetur,idq; in his corporis partibus,quæ cõſpicuæ
magis,magiſq; ſint oculis obuiæ,uidelicet ut ꝙmaxime diſcru
ciaret eũ,qui genuerat ,quóq; primo ſtatim conſpectu ꝑturba
ret,miſerabiliter inclamabat,parentẽ implorans non adiutorẽ
nec opitulatorẽ,quippe qui ſenex iã eſſet,atq; inualidus, uerũ
domeſticarum cladium ſpectatorem.Nam ego interim diſceſ
ſeram,autor qui fueram totius tragœdiæ,relinquens actori ca
dauer,ſcenam,gladium ,reliqua quæ ad actum fabulæ pertine
bant.At ille aſtans,ubi filium conſpexit,quem habebat unicũ,
ſemiuiuum,ſanguinolentum, cæde conſperſum, tum uulnera
perpetua.plurima ac letalia,hũc ad modũ exclamauit: O nate
extincti ſumus,interẽpti ſumus,tanq; Tyrãni iugulati ſumus.

Vbi

ἀπέθανεν ὑμῖν ἄτεκνος, λελυπημένος, ὀδυρόμενος, δακρύων, πεπενθηκὼς πένθος, ὀλιγοχρόνιον μὲν, ἀλλ' ἱκανὸν πατρὶ, καὶ τὸ δανότατον αὐτὸς ὑφ' αὑτοῦ ὃς πρὸ θανάτων οἴκτιστος καὶ πολλῷ χαλεπώτερος ἢ εἰ ὑπ' ἄλλου γίγνοιτο. ποῦ μοι τὸ ξίφος; μή τις ἄλλος τοῦτο γνωρίζει; μή τινος ἄλλου ὅπλον τοῦτο ἦν; τίς αὐτὸ ἐς τὴν ἀκρόπολιν ἀνεκόμισε; πρὸ τοῦ τυράννου τίς ἐχρήσατο; τίς αὐτὸ ἐπ' ἐκεῖνον ἀπέστειλεν; ὦ ξίφος κοινωνὸν καὶ διάδοχον τῶν ἐμῶν κατορθωμάτων. μετὰ τοσούτους κινδύνους, μετὰ τοσούτους φόνους ἀμελούμεθα, καὶ ἀνάξιοι δοκοῦμεν δωρεᾶς. εἰ γὰρ ὑπὲρ μόνου τούτου τὴν τιμὴν ᾔτουν, παρ' ὑμῶν. εἰ γὰρ ἔλεγον, ἄνδρες, ἀποθανεῖν ἐθελήσαντι τῷ τυράννῳ, καὶ ἀνόπλῳ ἐπὶ τοῦ καιροῦ κατειλημμένῳ, ξίφος τοῦτο ἐμὸν ὑπηρέτησε, καὶ πρὸς τὸ τέλος τῆς ἐλευθερίας συνήργησε παντὶ, τοῦτο τιμῆς τε καὶ δωρεᾶς ἄξιον νομίσατε, δεσπότην οὕτω δημοτικοῦ κτήματος, οὐκ ἂν ἠμείψασθε; οὐκ ἂν ἐν τοῖς εὐεργέταις ἀνεγράψατε; οὐκ ἂν τὸ ξίφος ἐν τοῖς ἱεροῖς ἀνεθήκατε; οὐκ ἂν μετὰ τῶν θεῶν ἐκεῖνο προσεκυνήσατε; νῦν μοι ἐννοήσατε, δια πεποιηκέναι εἰκὸς τὸν τύραννον, δια δὲ εἰρηκέναι πρὸ τῆς τελευτῆς. ἐπεὶ γὰρ ὑπ' ἐμοῦ φονευόμενος καὶ τιτρωσκόμενος πολλοῖς τραύμασιν ἐς τὰ φανερὰ τοῦ σώματος, ὡς ἂν μάλιστα λυπήσειν ἔμελλον τὸν γεγεννηκότα, ὡς ἂν ἐκ τῆς πρώτης θέας διαταράξειν. ὁ μὲν, ἀνεβόησεν οἰκτρὸν, ἐπιβοώμενος τὸν γεγεννηκότα, οὐ βοηθὸν, οὐδὲ σύμμαχον. ᾔδει γὰρ πρεσβύτην ὄντα καὶ ἀσθενῆ, ἀλλὰ θεατὴν τῶν οἰκείων κακῶν. ἐγὼ δὲ ἀπηλλαττόμην ποιητὴς μὲν τῆς ὅλης τραγῳδίας γεγενημένος, καταλιπὼν δὲ τῷ ὑποκριτῇ τὸν νεκρὸν, καὶ τὴν σκηνὴν καὶ τὸ ξίφος, καὶ τὰ λοιπὰ τοῦ δράματος. ἐπιστὰς δὲ ἐκεῖνος, καὶ ἰδὼν υἱὸν, ὃν εἶχε μόνον ὀλίγον ἐμπνέοντα, ᾑμαγμένον, ἐμπεπλησμένον τοῦ φόνου, καὶ τὰ τραύματα συνεχῆ, καὶ πολλὰ καὶ καίρια, ἀνεβόησε τοῦτο, τέκνον ἀνῃρήμεθα, πεφονεύμεθα, τετυραννοκτονήμεθα.

Vbi mactator? Cui me ſeruat? Cui me relinquit? qui quidem iamdudũ propter occiſum te fili ſum extinctus, niſi forte me tanquam ſenem contemnit, ac lento ſupplicio me conficit, producitq́ʒ mihi mortem, redditq́ʒ mihi cædem longiorem. Atqʒ hæc loquutus, enſem quærebat. Nã ipſe inermis erat, propter ea quod per omnia filio fideret: uerũ ne is quidem deerat, ut qui iamdudum fuerit à me paratus, atqʒ ad facinus futurũ relictus. Euulſo igitur è cæde gladio, atqʒ è uulnere exempto, ait, Dudum me occidiſti, nunc finem malis impone gladie. Ades patri lugenti ſolamen, ſenilemq́ʒ manum & infelicem adiuua, iugula, Tyrannum occide, luctu libera: utinam prior in te incidiſſem, utinam in cæde priorem occupaſſem locum. Occidiſſem quidem, ſed tanquam Tyrannus duntaxat, ſed qui crederem mihi ſupereſſe ultorem. nunc autem tanquam orbus occumbo, nunc tanquam cui deſit etiam mactator. Atqʒ hæc ubi diceret, gladium adegit, tremens neqʒ ſat potens. Cupiebat q̃dem, uerum non ſuppetebant uires ad facinus exigendum. Quot hic ſupplicia? Quod uulnera? Quot mortes? Quot Tyrãnicidia? Quod præmia? Poſtremo ſpectaſtis omnes iuuenem dudum proſtratum, nec exiguum profecto, neqʒ mediocrium uirium opus, ac ſenem huic circũfuſum, atqʒ amborum ſanguinem commixtum, libertatis illam & uictorialẽ ultimam, meiq́ʒ gladij facinora. At gladius ipſe in medio amborum, declarans ꝙ non indignum ſe domino præſtitit, teſtãsq́ʒ quod mihi fidam nauaſſet operam. Id ſi à me ipſo fuiſſet patratum, minus fuerat futurum. Nunc autem illuſtrius eſt ipſa nouitate. Atqʒ ego quidem ſum is, qui Tyrannidem ſuſtuli. Cæterum actio in multos eſt diſtributa, quẽadmodum in fabulis fieri conſueuit. Ac primas quidem partes egi ipſe: Secundas autem filius: Porrò tertias Tyrannus ipſe. Nam gladius omnibus inſeruiuit.

LVCIANI TYRANNICIDAE, DES. ERASMO ROTEROD. INTERPRETE FINIS.

ποῦ ὁ σφαγεύς; τίνι με τηρεῖ; τίνι με φυλάττει, διὰ σοῦ τέκνον προανῃ-
ρημένον; ἢ μή τι ὡς γέροντος ὑπερφρονεῖ, καὶ τῇ βραδυτῆτι κολάζειν
δέον, καὶ παρατείνει μοι τὸν φόνον καὶ μακροτέραν μοι τὴν σφαγὴν ποι-
εῖ. καὶ ταῦτα λέγων ἐζήτει τὸ ξίφος. αὐτὸς γὰρ ἄνοπλος ἦν, διὰ τὸ πάν-
τα τῷ παιδὶ θαρρεῖν, ἀλλ' οὐδὲ τοῦτ' ἐνεδέησε, πάλαι δ' ἦν ὑπ' ἐ-
μοῦ καὶ τοῦτο προπαρεσκευασμένον, καὶ πρὸς τὸ μέλλον τόλμημα, κα-
ταλελειμμένον. ἀποσπάσας δὴ τῆς σφαγῆς, καὶ τοῦ τραύματος ἐξελὼν
τὸ ξίφος, φησὶ πρὸ μικροῦ μὲν με ἀπέκτεινας, νῦν δ' ἀνάπαυσον ξί-
φος, πατρὶ πενθοῦντι παραμύθιον ἐλθὲ, καὶ πρεσβυτικῇ χειρὶ δυστυ-
χούσῃ συναγώνισαι, ἀπόφαξον, τυραννοκτόνησον, καὶ τοῦ πενθεῖν ἀ-
πάλλαξον. εἴθε, πρώτως σοὶ ἐνέτυχον, εἴθε τὴν τάξιν προὔλαβον τοῦ
φόνου. ἀπέθανον ἂν, ἀλλ' ἢ ὡς τύραννος μόνον, ἀλλ' ἔτι νομίζων ἕξειν
ἔκδικον. νῦν δ' ὡς ἄτεκνος, νῦν ὡς οὐδὲ φονέως εὐπορῶν. καὶ ταῦθ' ἅμα
λέγων, ἐπῆγε τὴν σφαγὴν, τρέμων, οὐ δυνάμενος, ἐπιθυμῶν μὲν, ἀσθε-
νῶν δὲ πρὸς τὴν ὑπηρεσίαν τοῦ τολμήματος. πόσαι κολάσεις ταῦτα;
πόσα τραύματα; πόσοι θάνατοι; πόσαι τυραννοκτονίαι; πόσαι δωρε-
αί; καὶ τέλος ἑωράκατε πάντες τὸν μὲν νεανίαν προκείμενον, οὐδὲ μικρὸν,
οὐδ' εὐκαταγώνιστον ἔργον, τὸν πρεσβύτην δὲ αὐτῷ περικεχυμένον,
καὶ τὸ αἷμα ἀμφοῖν ἀνακεκραμένον, τὴν ἐλευθέριον ἐκείνην, καὶ ἐπινί-
κιον σπονδὴν, καὶ τὰ ἔργα τοῦ ξίφους τοῦ ἐμοῦ. αὐτὸ δὲ τὸ ξίφος ἐν μέσῳ
ἀμφοτέρων ἐπιδεικνύμενον, ὡς οὐκ ἀνάξιον γεγένηται τοῦ δεσπότου,
καὶ μαρτυρόμενον ὅτι μοι πιστῶς διηκονήσατο. τοῦτο ὑπ' ἐμοῦ γενόμενον,
μικρότερον ἦν. νῦν δὲ λαμπρότερόν ἐστι τῇ καινότητι. καὶ ὁ μὲν καθε-
λὼν τὴν τυραννίδα πᾶσαν, εἰμὶ ἐγὼ, μεμέρισται δὲ ἐς πολλοὺς τὸ ἔρ-
γον, ὥσπερ ἐν δράματι. καὶ τὰ μὲν πρῶτα ἐγὼ ὑπεκρινάμην, τὰ δεύτερα
δὲ ὁ παῖς, τὰ τρίτα δὲ, ὁ τύραννος αὐτὸς, τὸ ξίφος δὲ πᾶσιν ὑπηρέτησεν.

LVCIANI SAMO-
SATENSIS ABDICATVS DES. ERASMO ROTERODAMO INTERPRETE.

ARGVMENTVM DECLAMATIONIS.

Quidam abdicatus artem medicinæ didicit. Patrem inſania laborantem, reliquis medicis deſperantibus, dato pharmaco cum ſanaſſet, denuo receptus eſt in familiam. Poſt hæc nouercam inſania correptam ſanare iuſſus, abdicatur.

DECLAMATIO.

HAVD quaquam noua ſunt hæc Iudices neq; miranda, quæ in præſentia facit pater, neq; nunc primum ad hunc iraſcitur modum, uerum hæc lex illi facilis eſt, & aſſuetus ad hanc cauſam accedit. Verum illud mihi nouo calamitatis genere accidit, quod cum nullum propriũ ſit crimen, quod mihi poſſit imponi, tamẽ in periculũ uocor, ne pœnas dem artis nomine, niſi huic iubẽti per om̃ia parere poſſit. Qua quidem re quid fieri poſſit abſurdius? uti curẽ ex præſcripto, nõ iã quatenus ars ualeat, ſed patris arbitratu. Quare optarim equidem ut medicorũ ars, eiuſmodi quoq; remediũ aliquod haberet, quo nõ modo laborãtes inſania, uerũetiã præter æquũ iraſcẽtes librare poſſit, nimirũ quo liceat & patris iracũdiæ mederi. Nunc autẽ ipſa quidẽ inſania leuatus eſt, cæterũ iracundia magis etiam exaſperatur. Quodq; eſt omnium grauiſſimum, erga cæteros om̃eis ſanus eſt, in me unũ inſanit, à quo morbo fuit liberatus.

Videti

ΛΟΥΚΙΑΝΟΥ

ΣΑΜΟΣΑΤΕΩΣ ΣΟΦΙΣΤΟΥ ἈΠΟΚΗΡΥΤΤΟΜΕΝΟΣ.

Ὑπόθεσις τῆς μελέτης.

Ἀποκηρυχθείς τις ἰατρικὴν ἐξέμαθε, μανέντα τὸν πατέρα καὶ ὑπὸ τῶν ἄλλων ἰατρῶν ἀπεγνωσμένον ἰασάμενος φαρμάκου δόσει, ἀνελήφθη αὖθις εἰς τὸ γένος. μετὰ ταῦτα μεμηνυῖαν τὴν μητρυιὰν ἰᾶσθαι κελευόμενος ἀποκηρύττεται.

Οὐ καινὰ μὲν ταῦτα, ὦ ἄνδρες δικασταί, οὐδὲ παράδοξα ὑπὸ τοῦ πατρὸς ἐν τῷ παρόντι γινόμενα, οὐδὲ νῦν πρῶτον τὰ τοιαῦτα ὀργίζεται, ἀλλὰ πρόχειρος οὗτος ὁ νόμος αὐτῷ, καὶ συνήθως ἐπὶ τοῦτ' ἀφικνεῖται τὸ δικαστήριον. ἐκεῖνο δὲ καινότερον νῦν δυστυχῶ, ὅτι ἔγκλημα μὲν ἴδιον οὐκ ἔχω, κινδυνεύω δὲ τιμωρίαν ὑποσχεῖν ὑπὲρ τῆς τέχνης, εἰ μὴ πάντα δύναται πείθεσθαι τούτῳ κελεύοντι. οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; θεραπεύειν ἐκ προστάγματος οὐκ ἔτι ὡς ἡ τέχνη δύναται, ἀλλ' ὡς ὁ πατὴρ βούλεται; ἐβουλόμην μὲν οὖν τὴν ἰατρικὴν καὶ τοιοῦτόν τι ἔχειν φάρμακον, ὃ μὴ μόνον τοὺς μεμηνότας, ἀλλὰ καὶ τοὺς ἀδίκως ὀργιζομένους παύειν ἐδύνατο, ἵνα καὶ τοῦτο τοῦ πατρὸς νόσημα ἰασαίμην. νυνὶ δὲ τὰ μὲν τῆς μανίας αὐτῷ τέλεον πέπαυται, τὰ δὲ τῆς ὀργῆς μᾶλλον ἐπιτείνεται. καὶ τὸ δεινότατον, τοῖς μὲν ἄλλοις ἅπασι σωφρονεῖ, κατ' ἐμοῦ δὲ τοῦ θεραπεύσαντος μόνου μαίνεται. τὸν μὲν οὖν μισθὸν τῆς θεραπείας

ὁρᾶτε

Videtis igitur cuiuſmodi mercedem curationis feram, cũ rur/ſum ab illo abdicor, iterum alienor à familia, ceu ob idipſum ad breue tempus receptus, ut maiore infamia ſæpius eijcerer domo. At ego quidem in his quæ præſtare queam, ne expe/ctato quidem patris iuſſum, ut qui pridem non accerſitus ad o/pitulandum acceſſerim. Verum ubi res eſt eiuſmodi, ut nulla omnino ſpes ſit, tum nec aggredi uelim. Porrò in hac muliere multo etiam minus auſim, neq; id temere. Siquidem reputo quæ in me facturus ſit pater, ſi res non ſucceſſerit, cum iam ab dicet nondum aggreſſum curationem. Quare doleo Iudices, nouercæ uicem, grauiter laborantis. Erat enim proba. Deinde patris nomine, quem huius morbus excruciat. Maxime tamẽ mea ipſius cauſa, qui uidear immorigerus patri, cum non poſ/ſim quæ iubeor præſtare, partim ob morbi magnitudinẽ, par/tim ob artis imbecillitatem. At ſanè non arbitror æquum eſſe ut abdicer, ſi quod efficere non queam, id ne recipiam quidẽ. Itaq; quibus de cauſis prius abdicarit me, facile fuerit ex hoc negocio conijcere. Quanquam ad illas, opinor, ſatis reſpondi, ipſa poſt acta uita. Ad hæc autem quæ nunc obijcit, pro uirili ſum reſpõſurus, ſi prius de ſtatu meo pauca uobis expoſuero. Ego intractabilis ille, & immorigerus, patrem dedecorans, & indigna genere meo patrans, id quidem temporis multa id ge nus uociferanti, ac ſine fine occlamanti, paucis contradicendũ eſſe duxi. Verum domo cedẽs, exiſtimaui mihi grauiſſimi iu/dicij inſtar fore, uerumq; calculum, ita actam deinde uitam, ut appareret me à paternis illis criminibus, quàm longiſſime ab/eſſe, ſed potius honeſtiſſimis ſtudijs dediſſe operam, cumque optimis uiris habuiſſe conſuetudinem. Iam uero & eiuſmodi quiddam proſpiciebam, ac ſuſpicabar fore, ut aliquãdo pater, qui non admodum animo conſtaret, mihi ſine cauſa ſuccenſe ret, falſaq; in filium crimina ſtrueret. Neq; deerãt qui iſta mor bi initium interpretarentur, minaſq; ac tela paulo poſt irruitu ri mali. Nẽpe odiũ abſq; cauſa, mores aſperos, cõuitia parata,

ἀγαπῶ δ᾽ οὖν ἀπολαμβάνω ἀποκηρυττόμενος ὑπ᾽ αὐτοῦ πάλιν, καὶ τοῦ γένους ἀλλοτριούμενος δεύτερον, ὡς ἂν διὰ τοῦτ᾽ ἀναληφθεὶς πρὸς ὀλίγον ἵν᾽ ἀτιμότερος γένωμαι πολλάκις ἐκπεσὼν τῆς οἰκίας. ἐγὼ δὲ ἐν μὲν τοῖς δυνατοῖς, οὐδὲν κελευσθῆναι περιμένω. πρώην γοῦν ἄκλητος ἧκον, ἐπὶ τὴν βοήθειαν. ὅταν δέ τι ᾖ παντελῶς ἀπεγνωσμένον, οὐδ᾽ ἐπιχειρεῖν βούλομαι, ἐπὶ δὲ τῆς γυναικὸς ταύτης εἰκότως, καὶ ἀτολμότερός εἰμι. λογίζομαι γὰρ οἷα πάθοιμ᾽ ἂν ὑπὸ τοῦ πατρὸς ἀποτυχών, ὃς οὐδ᾽ ἀρξάμενος τῆς θεραπείας, ἀποκηρύττομαι. ἄχθομαι μὲν οὖν, ὦ ἄνδρες δικασταὶ ἐπὶ τῇ μητρυιᾷ χαλεπῶς ἐχούσῃ. χρηστὴ γὰρ ἦν, καὶ ἐπὶ τῷ πατρὶ δι᾽ ἐκείνην ἀνιωμένῳ, τὸ δὲ μέγιστον ἐπ᾽ ἐμαυτῷ, ἀπειθεῖν δοκοῦντι, καὶ ἃ προστάττομαι ὑπουργεῖν οὐ δυναμένῳ, καὶ δι᾽ ὑπερβολὴν τῆς νόσου καὶ ἀσθένειαν τῆς τέχνης. πλὴν οὐ δίκαιον οἶμαι ἀποκηρύττεσθαι τὸν ἃ μὴ δύναται ποιεῖν, μηδὲ τὴν ἀρχὴν ὑπισχνούμενον. δι᾽ ἃς μὲν οὖν αἰτίας, καὶ πρότερον ἀπεκήρυξέ με, ῥᾴδιον συνιδεῖν ἐκ τῶν παρόντων. ἐγὼ δὲ καὶ πρὸς ἐκείνας μὲν ὡς οἴομαι, ἱκανῶς τῷ μετὰ ταῦτα βίῳ ἀπελογησάμην. καὶ ταυτὶ δὲ ἃ νῦν ἐγκαλεῖ, ὡς ἂν οἷός τε ὦ, ἀπολογήσομαι, μικρὰ ὑμῖν διηγησάμενος τὰ ἐμά. ὁ γὰρ δυσάγωγος καὶ δυσπειθὴς ἐγώ, ὁ καταισχύνων τὸν πατέρα, καὶ ἀνάξια πράττων τοῦ γένους, τότε μὲν αὐτῷ τὰ πολλὰ ἐκεῖνα βοῶντι καὶ διατεινομένῳ, ὀλίγα χρῆναι ἀντιλέγειν ᾠόμην. ἀπελθὼν δὲ τῆς οἰκίας, ἐνόμιζόν μοι δικαστήριον ἔσεσθαι μέγα, καὶ ψῆφον ἀληθῆ τὸν μετὰ ταῦτα βίον, καὶ τὸ φαίνεσθαι πάμπολυ τῶν τοῦ πατρὸς ἐγκλημάτων ἐκείνων ἀφεστηκότα, καὶ περὶ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων, ἐσπουδακότα, καὶ τοῖς ἀρίστοις συνόντα. προεωρώμην δὲ καὶ τοιοῦτόν τι, καὶ ὑπώπτευον μὴ δὴ ὡς οὐ σφόδρα καθεστηκότος πατρὸς ἀδίκως ὀργίζεσθαι, καὶ ἐγκλήματα ψευδῆ καθ᾽ υἱοῦ συντιθέναι. καὶ ἦσαν τινὲς οἳ μανίας ἀρχὴν, ταῦτ᾽ εἶναι νομίζοντες, καὶ ἀπειλὴν, καὶ ἀκροβολισμὸν οὐκ ἐς μακρὰν ἐπιπεσουμένου τοῦ κακοῦ μῖσος ἄλογον, καὶ νόμον ἀπηνῆ, καὶ βλασφημίας προχείρους,

cenſuram ſeueram,clamorem ,iracundiam ,in ſumma ,omnia plena bilis,unde uſu uenturum credebam,ut mihi aliquando arte medicinæ foret opus. Proinde foras profectus,ac probatiſſimorum,quos in peregrinis regionibus nanciſci potui ,medicorum uſus doctrina,plurimo labore ,uehementiꝗ animi ſtudio artem perdidici. Porrò domum reuerſus,offendo patrem manifeſta iam inſania laborantem ,& ab huius loci medicis deſperantibus deſtitutum ,qui non altius introſpiciunt, nec admodum exacte morbos dijudicant. At ego ſanè ſicuti par erat facere frugi filium,neꝗ ſuperioris abdicationis iniuriam recordabar,neque ut accerſerer operiebar. Neque enim erat quicquam ,quod illi proprie imputare poſſem. Verum peccata illa omnia fuerant aliena. Nempe quemadmodum modo dicebam,ipſius morbi. Ergo cũ inuocatus acceſſiſſem, non ſum equidem protinus medicatus: neque enim hic nobis mos eſt,neque id præcipit ars,uerum illud omnium primum iubemur obſeruare,ſanabilis ne ſit morbus,an inſanabilis,atque artis terminos prætergreſſus. Ac tum ſi eiuſmodi fuerit malum,ut commode poſſimus aggredi ,aggredimur,totoque adnitimur ſtudio,ut ægrotum ſeruemus, Quod ſi uiderimus iam inualuiſſe, ſuperaſſeque , nec manum admolimur omnino:idq́ue uetuſtam quandam legem eorum, qui primi medicinæ prodiderunt artem,ſecuti. Qui negant tentandos eſſe morbos,qui iam inualuerunt. Itaque cum patrem adhuc intra ſpem eſſe perſpicerem, neque malum ſupra artis uires eſſe,diu obſeruatis ac penſitatis ſingulis,ita demum aggrediebar,ac pharmacum fidenti animo porrexi. Multi ſanè eorum qui tum aderant,ſuſpectam habebãt adminiſtrationem pharmaci, calumniantes curationem meam. Iamque parabant in ius uocare me. Aderat autem & nouerca pauida atque diffidens , non id quidem odio mei, ſed quod metueret, utpote probe ſciens illum grauiter laborare. Nam ſola nouerat omnia , quippe familiaris & aſſidue conuiuens ægrotanti.

καὶ δικαστήριον σκυθρωπὸν, καὶ βοὴν, καὶ ὀργὴν, καὶ ὅλως, χολῆς μεστὰ
πάντα. διὸ δὴ τάχα μοὶ καὶ ἰατρικῆς δεήσειν ποτὲ προσεδόκων. ἀπε-
δημήσας οὖν, καὶ τοῖς εὐδοκιμωτάτοις τῶν ἐπὶ τῆς ἀλλοδαπῆς ἰατρῶν
συγγενόμενος, καὶ πόνῳ πολλῷ, καὶ προθυμίᾳ λιπαρεῖ χρησάμενος ἐξέ-
μαθον τὴν τέχνην. ἐπανελθὼν δὲ καταλαμβάνω τὸν πατέρα, σαφῶς
ἤδη μεμηνότα, καὶ ὑπὸ τῶν ἐπιχωρίων ἰατρῶν ἀπεγνωσμένον, οὐκ ἐς
βάθος ὁρόντων, οὐδὲ ἀκριβῶς φυλοκρινούντων τὰς νόσους. πλὴν ὅπερ
γε εἰκὸς ἦν ποιεῖν, χρηστὸν υἱὸν, οὔτε ἐμνησικάκησα τῆς ἀποκηρύξεως, οὔ-
τε μετάπεμπτος γενέσθαι περιέμεινα. οὐδὲ γὰρ εἶχόν τι αὐτῷ ἴδιον ἐγκα-
λεῖν, ἀλλὰ πάντα ἐκεῖνα ἦν ἀλλότρια τὰ ἁμαρτήματα, καὶ ὥσπερ ἔφην
ἤδη τῆς νόσου. προσελθὼν οὖν ἄκλητος οὐκ εὐθὺς ἰασάμην. οὐ γὰρ οὕτω
ποιεῖν ἔθος ἐστὶν ἡμῖν, οὐδὲ ταῦτα ἡ τέχνη παραινεῖ, ἀλλὰ πάντων
πρῶτον διδασκόμεθα συνορᾷν, εἴ τι ἰάσιμόν ἐστι τὸ νόσημα, εἴτ' ἀνήκε-
στον, καὶ ὑπερβεβηκὸς τοὺς ὅρους τῆς τέχνης. καὶ τηνικαῦτα ἢν μὲν εὐμετα-
χείριστον ᾖ, ἐπιχειροῦμεν, καὶ πᾶσαν σπουδὴν ἐσφερόμεθα σῶσαι τὸν νο-
σοῦντα. ἢν δὲ κεκρατηκὸς ἤδη, καὶ νενικηκὸς τὸ πάθος ἴδωμεν, οὐδὲ
τὴν ἀρχὴν προσαπτόμεθα, νόμον τινὰ παλαιὸν τῶν προπατόρων τῆς
τέχνης ἰατρῶν φυλάττοντες, οἵ φασι, μὴ δεῖν ἐπιχειρεῖν τοῖς κεκρα-
τημένοις. ἰδὼν οὖν τὸν πατέρα ἔτι ἐντὸς τῆς ἐλπίδος, καὶ τὸ πάθος
οὐχ ὑπὲρ τὴν τέχνην, ἐπιπολὺ τηρήσας, καὶ ἀκριβῶς ἐξετάσας ἔκα-
λον, ἐπεχείρουν ἤδη, καὶ τὸ φάρμακον τεθαῤῥηκότως ἐνέχεον. καί τοι,
πολλοὶ τῶν παρόντων, ὑπώπτευον τὴν δόσιν, καὶ τὴν ἴασιν διέβαλ-
βον, καὶ πρὸς κατηγορίας παρεσκευάζοντο. παρῆν δὲ καὶ ἡ μητρυιὰ
φοβουμένη, καὶ οὐκ ἀπιστοῦσα τῷ μισεῖν ἐμὲ, ἀλλὰ τῷ δεδιέναι, καὶ
ἀκριβῶς εἰδέναι, πονήρως ἐκεῖνον διακείμενον. ἠπίστατο γὰρ
μόνη τὰ πάντα συνοῦσα, καὶ ὁμοδίαιτος τῇ νόσῳ. πλὴν

Attamen ego nihil his rebus deterritus,ſciebā enim futurum ut mihi ſigna non mentirentur,neque falleret ars,adhibui curam,obſeruato tempore idoneo.Quanquam erant amici nõnulli,qui mihi conſilium darent,ne fiderem:ne forte ſi res male ſucceſſiſſet,maiorem aliquam calumniam mihi accerſerem, quaſi patrem ueneno ultus eſſem,memor iniuriarum,quibus me affecerat.In ſumma,ille protinus conualuit,priſtinæ redditus ſanitati,cognouitq; omnia.Familiares admirabantur,denique laudabat & nouerca,ac palàm omnibus utriuſque nomine gaudebat,tum mihi laudem aſſecuto,tum illi ad ſanā mentem reuerſo.Atq; hic quidem,nam illud de eo teſtari poſſum, neq; cunctatus,neque quopiam his de rebus in conſilium adhibito,ſimulatque rem omnem è familiaribus cognouit,irritam fecit abdicationem,ac denuo me filium fecit,ſeruatorem ac beneficum appellans,confitens ſeſe certum experimentum mei cepiſſe,deq; illis ante factis ſemet excuſans. Id factum complu ribus attulit uoluptatem,nimirum quotquot aderant probi.Cæterum urebat eos,quibus abdicatio filij iucundior fuerat reuocatione.Proinde uidebam tum non eodem modo ea re gaudentes omnes,ſed erat cuius & colorem illico uerti ſenſi,& oculos turbari,& uultum iracundum,quemadmodum ex inuidia,odióque ſolet accidere.Nos igitur,ut eſt conſentaneum,in complexibus & animi gaudijs uerſabamur,utpote utroque alteri reddito.Cæterum nouerca paulopoſt ægrotare protinus cœpit,morbo,iudices,graui,& impotenti.Nam ſtatim obſeruabam,ut naſcebatur malum.Neq; enim ſimplex erat,aut leuis inſaniæ ſpecies,quin potius uetus quidam morbus,qui iam pridem delituerat in animi domicilio,erupit,uictorq; in apertum prodijt.Sunt autē nobis cum alia multa ſigna,inſanabili laborantis inſania,tum illud commune in hac obſeruaui muliere.In cæteros placatior eſt,ac mitis,atque illis præſētibus cõquieſcit morb⁹.Quod ſi quē cõſpexerit medicū,

imò ſi

ἀλλ' ἔγωγε οὐδὲν ἀποδειλιάσας, ἠπιστάμην γὰρ οὐ ψευσόμενά μοι τὰ σημεῖα οὐδὲ προδώσουσαν τὴν τέχνην, ἐπῄειν τὴν ἴασιν ἐν καιρῷ τῷ ἐπιχειρήσεως. καίτοι κἀμοί τινες τῶν φίλων, συνεβούλευον μὴ θρασύνεσθαι, μή πως διαβολήν τινα μείζω ἐνέγκῃ μοι τὸ ἀποτυχεῖν, ὡς ἀμυνομένῳ τὸν πατέρα φαρμάκῳ, καὶ μνησικακήσαντι, ὧν ἐπεπόνθειν ὑπ' αὐτοῦ. καὶ τὸ κεφάλαιον σῶος μὲν οὗτος εὐθὺς ἦν, καὶ ἐσωφρόνει πάλιν, καὶ πάντα διεγίγνωσκεν, οἱ παρόντες δὲ ἐθαύμαζον. ἐπῄνει δὲ καὶ ἡ μητρυιά, καὶ φανερὰ πᾶσιν ἦν χαίρουσα, κἀμοὶ εὐδοκιμοῦντι, κἀκείνῳ σωφρονοῦντι. οὗτος δ' οὖν, μαρτυρεῖν γὰρ αὐτῷ ἔχω, μήτε μελλήσας, μήτε σύμβουλόν τινα, περὶ τούτων προσλαβών, ἐπειδὴ τὸ πᾶν ἤκουσε τῶν παρόντων, λύει μὲν τὴν ἀποκήρυξιν, υἱὸν δὲ ἐξ ὑπαρχῆς ἐποιεῖτό με, σωτῆρα καὶ εὐεργέτην ἀποκαλῶν, ἀκριβῶς πεπειρᾶσθαι ὁμολογῶν, καὶ περὶ τῶν ἔμπροσθεν ἐκείνων ἀπολογούμενος. τούτου γενομένου εὔφραινε μὲν πολλοὺς ὅσοι παρῆσαν χρηστοί, ἐλύπει δὲ ἐκείνους, ὅσοις ἀποκήρυξις υἱοῦ ἡδίων ἀναλήψεως. εἶδον γοῦν τότε, οὐ πάντας ὁμοίως ἡδομένους τῷ πράγματι, ἀλλ' εὐθύς τινος καὶ χρόαν τρεπομένην, καὶ βλέμμα τεταραγμένον, καὶ πρόσωπον ὠργισμένον, οἷον ἐκ φθόνου καὶ μίσους γίγνεται. ἡμεῖς μὲν οὖν ὡς τὸ εἰκὸς ἐν εὐφροσύναις καὶ θυμηδίαις ἦμεν, ἀλλήλους ἀπειληφότες. ἡ μητρυιὰ δὲ μετὰ μικρὸν, εὐθὺς νοσεῖν ἤρξατο, νόσον, ὦ ἄνδρες δικασταί, χαλεπὴν καὶ παράλογον. ἀρχόμενον δὲ εὐθὺς τὸ δεινὸν παρεφύλαξα. οὐ γὰρ ἁπλοῦν οὐδὲ τῶν ἐπιπολαίων τῆς μανίας τὸ εἶδος, ἀλλά τι παλαιὸν ὑποικουροῦν ἐν τῇ ψυχῇ κακὸν ἀπέρρηξε, καὶ ἐς τοὐμφανὲς ἐξενίκησε. πολλὰ μὲν οὖν καὶ ἄλλα ἡμῖν ἐστι σημεῖα τῶν ἀνιάτως μεμηνότων, ἓν δὲ ἐκεῖνο κοινὸν ἐπὶ τῆς γυναικὸς ταύτης παρεφύλαξα. πρὸς μὲν γὰρ τοὺς ἄλλους ἡμερωτέρα καὶ πρᾳοτέρα ἐστί, καὶ παρόντων εἰρήνην ἄγει ἡ νόσος· ἂν δέ τινα ἰατρὸν ἴδῃ,

imò ſi uel audierit tantum de medico, in hunc ſupra modum incenditur. Quod & ipſum argumento eſt, illam graui & inſanabili teneri malo. Hæc cum perſpicerem, equidem acerbe ferebam, miſerebatq́ue mulieris, ut debui, præter meritum tãto laborantis infortunio. Pater uero ob imperitiam, neq; enim nouit, uel originem mali, quo tenetur, uel cauſam, uel morbi magnitudinem, iuſſit uti medicarer, ac ſimile pharmacum exhiberem, arbitratus idem eſſe inſaniæ genus, eundem morbum, eãdem ægrotationem, quæ ſimilem curandi rationem admitteret. Verum ubi id quod erat uerißimum dico, fieri nullo pacto poſſe, ut mulier ſeruetur, fateorq́ue me morbo imparem eſſe, indignatur, ac ſuccenſet, aitq́ue me ſtudio detrectare, ac mulierem deſtituere, mihi crimini uertens artis imbecillitatẽ. Atque huic quidem accidit, quod ſolet ijs qui dolent. Succenſent enim omnes ijs, qui libere uerum loquuntur. Tamen ego ſanè pro uiribus illi reſpõdebo, tum meo ipſius nomine, tum artis. Ac primum quidem à lege ſumam initium, per quam hic me parat abdicare, ut intelligat ſibi non eſſe poſthac eandem abdicandi facultatem, quæ prius fuit. Neq; enim legiſlator omnibus, ò pater, iſtam poteſtatẽ permittit, neq; uti quoſlibet filios, neq; quoties libuerit, abdicet, neq; quibuſlibet de cauſis: uerum quemadmodum patribus conceſſit, certis de cauſis iraſci, ita proſpexit & liberis, ne id immerẽtibus accidat. Eaq́ue gratia iuſſit, ne libera eſſet, ac citra iudiciũ uindicta, ſed ad iudices uocat, æſtimatores cõſtituit, qui neq; per iracundiã, neq; p calumniam, quod iuſtũ ſit iudicent. Nouerat enĩ frequenter accidere multis, ut ob cauſas iniquas ad irã cõmouerentur, hic quidem alicui falſæ calumniæ credens, ille famulo fidẽ habẽs, aut uxori cuipiam inimicæ. Quare noluit rem iniudicatam agi, neque indefenſa cauſa liberos ſtatim capi, uinciq́ue, uerum & aquam infundit, & ratio redditur, & nihil inexcuſſum relinquitur. Quandoquidem ſolum hoc autoritatis datur patri,

καὶ τότ' ἀκούσῃ μόνον κατ' ἐκείνου μάλιστα προξενήσῃ. ὅπως καὶ αὐτὸ τὸ τῆς πονήρως, καὶ ἀνηκέστως ἔχειν δεῖ τεκμήριον. ταῦτα ὁρῶν, ἐγὼ μὲν ἠνιώμην, καὶ τὴν γυναῖκα ᾤκτειρα ἀξίαν οὖσαν, καὶ παρὰ τὸ προσῆκον δυστυχοῦσαν. ὁ πατὴρ δὲ ὑπὸ ἰδιωτείας, οὐ γὰρ οἶδεν οὔ τι τὴν ἀρχὴν τῆς κατέχοντος κακοῦ, οὔ τι τὴν αἰτίαν, οὔ τι τὸ μέτρον τοῦ πάθους, ἐκέλευεν ἰᾶσθαι, καὶ τὸ ὅμοιον ἐγχέαι φάρμακον. ὥσπερ γὰρ ἓν εἶναι μανίας εἶδος, καὶ μίαν τὴν νόσον, καὶ τἀρρώστημα ταυτόν, καὶ παραπλησίαν τὴν θεραπείαν δεχόμενον. ἐπεὶ δὲ ὅπως ἀληθεύσαιμι, ἀδύνατον εἶναι φημὶ σώζεσθαι τὴν γυναῖκα, καὶ ἡττᾶσθαι ὑπὸ τῆς νόσου ὁμολογῶ, ἀγανακτεῖ καὶ ὀργίζεται, καὶ φησὶν ἑκόντα καθυφίεσθαι, καὶ προδιδόναι τὴν ἄνθρωπον, ἐγκαλῶν ἐμοὶ τὴν ἀσθένειαν τῆς τέχνης. καὶ πάσχει μὲν σύνηθες τοῖς λυπουμένοις. ὀργίζονται γὰρ ἅπαντες τοῖς μετὰ παρρησίας τἀληθῆ λέγουσιν. πλὴν ἔγωγε ὡς ἂν οἷός τε ὦ, δικαιολογήσομαι πρὸς αὐτὸν, καὶ ὑπὲρ ἐμαυτοῦ καὶ τῆς τέχνης. καὶ πρῶτόν γε ἀπὸ τοῦ νόμου ἄρξομαι, καθ' ὃν οὗτός με ἀποκηρύξαι θέλει, ἵν' εἰδῇ, οὐκ ἔθ' ὁμοίαν οὖσαν αὐτῷ, νῦν τε καὶ πρότερον τὴν ἐξουσίαν. οὐ γὰρ ἅπασιν, ὦ πατέρες, ὁ νομοθέτης, οὐδὲ πάντας υἱέας, οὐδὲ ὁσάκις ἂν ἐθέλωσιν ἀποκηρύττειν συγκεχώρηκεν, οὐδ' ἐπὶ πάσαις αἰτίαις, ἀλλ' ὥσπερ τοῖς πατράσι τὰ τηλικαῦτα ὀργίζεσθαι ἐφῆκεν, οὕτω καὶ τῶν παίδων προυνόησεν, ὡς μὴ ἀδίκως αὐτὸ πάσχωσι. καὶ διὰ τοῦτο οὐκ ἐλευθέραν ἐφίεσθαι, οὐδὲ ἄκριτον τὴν τιμωρίαν, ἀλλ' εἰς δικαστήριον ἐκάλεσε, καὶ δοκιμαστὰς ἐκάθισε, τοὺς μήτε πρὸς ὀργὴν, μήτε διαβολὴν τὸ δίκαιον κρινοῦντας. ἤδη γὰρ πολλοῖς πολλάκις ἀλόγους αἰτίας ὀργῆς παρισαμένας, καὶ τὸν μὲν, ψευδεῖ τινι διαβολῇ πειθόμενον, τὸν δὲ οἰκέτῃ πιστεύοντα, ἢ γυναικὶ ἐχθρᾷ. οὔκουν ἠθέλησεν ἀδίκαστον γίγνεσθαι τὸ πρᾶγμα, οὐδ' ἐξ ἐρήμης τοὺς παῖδας εὐθὺς ἁλίσκεσθαι, ἀλλὰ καὶ ὕδωρ ἐγχεῖται, καὶ λόγος ἀποδίδοται, καὶ ἀνεξέταστον οὐδὲν καταλείπεται. ἐπεὶ τοίνυν ἔξεστι, καὶ τοῦ μὲν ἐγκαλεῖν μόνου ὁ πατὴρ κύριος·

τὸ κρῖναι

ut ad iudices uocet, uerum iudicãdi autoritas, an merito acciſet, id penes uos, qui iudicio præſidetis. Ac nondum ſpectate crimen, quod mihi imponit, cuiusq; gratia nũc indignatur, uerum illud prius expendite, nũ poſthac illi ius ſit abdicandi, qui ſemel abdicauerit, iamq; ſit uſus facultate, quã lex cõcedit, atq; hanc paternam poteſtatẽ expleuerit, deinde rurſum in familiã receperit, ac ſuperiorem abdicationem irritam fecerit. Nã ego certe iniquiſſimum iſtud eſſe dico, ut liberorum quoq; ſint infinitæ pœnæ, ut multæ condemnationes, ac metus perpetuus, utq; lex nunc irato inſeruiat, mox deinde faciat irritum, quod actum eſt, rurſum ut eodẽ modo ualeat: in ſumma, ut ius ſurſum ac deorſum torqueatur, utcunq; patribus pro tempore uiſum fuerit. Verum initio quidem æquum erat uti concederet cumq; indignante pariter indignaretur, ac puniendi ius faceret ei, qui genuiſſet. Porrò ubi ſemel poteſtatem abſumpſerit, ac lege ſit abuſus, iracundiam expleuerit, poſt hæc rurſum in familiam receperit, & in hanc opinionem diſceſſerit, ut frugi putet, in his perſeueret neceſſum eſt, neq; poſtea reſiliendum, aut retractanda ſententia, neq; reſcindendum iudicium. Neq; enim ſcire poterat, opinor, is qui natus fuerat, frugi ne, an contra eſſet euaſurus. Atq; hanc ob cauſam permiſſum eſt, ut genere indignos abdicent, quos cũ educabant, cuiuſmodi eſſent futuri neſciebant. Cæterum ubi non coactus, ſed ſuapte ſponte atq; autoritate ex ſeſe comprobatum recipit, qua deinde ratione poſſit mutare factum, aut quis legis uſus ſupereſt? Etẽm ipſe legiſlator hunc ad modum tecum egerit. Hic ſi improbus erat, dignusq; quẽ abdicares, quid accidit uti reuocares? Cur denuo in familiam reduxiſti? Cur legem irritam feciſti? Nam liber eras, tibiq; in manu erat iſta non facere. Neque enim tibi concedendum eſt, ut legibus tuo arbitratu abutaris, utq; iudicia utcunq; mutatus ſit animus tuus, eò trahantur. Neque uti nunc irritentur leges, nunc rurſum ualeant, iudices interim teſtes ſedeant, uel ut rectius dicam, miniſtri tuæ uolũtatis, modo

τὸ κρῖναι δὲ εἰ εὔλογα αἰτιᾶται, ὑμᾶς οἱ δικάζοντες, αὐτὸ μὲν ὅ μοι προφέρει ἐφ' ὃ νῦν ἀγανακτεῖ, μηδέπω σκοπεῖτε. πρότερον δὲ ἐκεῖνο ἐξετάσατε, εἰ ἔτι δοτέον, ἀποκηρύττειν αὐτῷ, ἅπαξ ἀποκηρύξαντι, χρησαμένῳ τῇ παρὰ τοῦ νόμου ἐξουσίᾳ, καὶ ἀποπληρώσαντι τὴν πατρικὴν ταύτην δυναστείαν, εἶτ' αὖθις ἀναλαβόντι, καὶ λύσαντι τὴν ἀποκήρυξιν. ἐγὼ μὲν γὰρ ἀδικώτατον εἶναί φημι, τὸ τοιοῦτον, ἀπεράντους γενέσθαι, καὶ τῶν παίδων τὰς τιμωρίας, καὶ πολλὰς τὰς καταδίκας, καὶ τὸν φόβον ἀΐδιον, καὶ τὸν νόμον, ἄρτι μὲν συνοργίζεσθαι, μετὰ μικρὸν δὲ λύεσθαι, καὶ πάλιν ὁμοίως ἰσχυρὸν εἶναι, καὶ ὅλως ἄνω καὶ κάτω στρέφεσθαι τὰ δίκαια, πρὸς τὸ ἐπὶ καιροῦ δοκοῦν τοῖς πατράσι. ἀλλὰ τὸ μὲν πρῶτον ἄξιον ἐφιέναι, καὶ ἀγανακτοῦντι συναγανακτεῖν, καὶ κύριον τῆς τιμωρίας ποιεῖν τὸν γεγεννηκότα. ἢν δὲ ἅπαξ ἀναλώσῃ τὴν ἐξουσίαν καὶ καταχρήσηται τῷ νόμῳ, καὶ ἐμπλησθῇ τῆς ὀργῆς, εἶτα μετὰ ταῦτα ἀναλάβῃ χρηστὸν εἶναι μεταπεισθεὶς, ἐπὶ τούτων ἀνάγκη μένειν, καὶ μηκέτι μεταπηδᾶν, μηδὲ μεταβουλεύεσθαι, μηδὲ μεταποιεῖν τὴν κρίσιν. τοῦ μὲν γὰρ τὸν γεννηθέντα, πονηρὸν ἢ χρηστὸν ἀποβήσεσθαι οὐδὲν οἶμαι γνώρισμα ἦν, καὶ διὰ τοῦτο τοὺς ἀναξίους τοῦ γένους ἀπελαύνεσθαι συγκεχώρηται, τοῖς ὅτε ἐγίνοντο ἀναθρεψαμένοις. ὅταν δὲ μὴ κατ' ἀνάγκην ἀλλ' ὑπ' ἐξουσίας αὐτός τις ὑφ' ἑαυτοῦ, καὶ δοκιμάσας ἀναλάβῃ, τίς ἔτι μηχανὴ μεταβάλλεσθαι; ἢ τίς ἔτι χρῆσις ὑπόλοιπος τοῦ νόμου; φαίη γὰρ ἂν πρὸς σὲ ὁ νομοθέτης, εἰ πονηρὸς οὗτος ἦν, καὶ τοῦ ἀποκηρυχθῆναι ἄξιος, τί παθὼν ἀνεκάλεις; τί δὲ αὖθις ἐπανῆγες ἐς τὴν οἰκίαν; τί δὲ ἔλυες τὸν νόμον; ἐλεύθερος γὰρ ἦσθα, καὶ τοῦ μὴ ποιεῖν ταῦτα κύριος. οὐ γὰρ δὴ ἐντρυφᾶν σοὶ δοτέον τοῖς νόμοις, οὐδὲ πρὸς τὰς σὰς μεταβολὰς ἀνάγεσθαι τὰ δικαστήρια, οὐδὲ ἄρτι μὲν λύεσθαι, ἄρτι δὲ κυρίους εἶναι τοὺς νόμους, καὶ τοὺς δικαστὰς καθῆσθαι μάρτυρας, μᾶλλον δὲ ὑπηρέτας τῶν σοὶ δοκούντων, ὅτε μὲν

punientes, modo abſoluentes, quandocunq; tibi uiſum fuerit. Semel genuiſti, ſemel educaſti, pro his ſemel item abdicare potes, atq; ita potes, ſi iſtud merito facere uidearis: uerum ut hoc fiat ſine fine, ut perpetuo, ut frequēter, ut facile, id uero ſupra patris ius eſt. Quare per Ioue͂ iudices, ne permittatis huic, ut qui ſua ſponte receperit, ſuperioris iudicij ſententiam irritarit, iram damnarit, rurſum ad cādem prouocet pœnam, & ad patriam recurrat poteſtatem, cuius tempus iam exceſſit, euanuitq; priuilegium, nec huic uni quicquam ualens, quippe antehac conſumpta. Etenim illud conſiderate, quemadmodum in reliquis iudicijs, ubi iudices ſortibus ferunt ſententiam, ſi quis perperā pronunciatū exiſtimat, permittit lex alios adire iudices. Porrò ſi qui ipſi ſuapte ſponte iudices conſtituerint, delectisq; arbitris cauſam cōmiſerint, poſthac nō idem licet. Etenī ſi quis, quorum ſententijs initio ſtare non cogebatur, hos ſponte delegerit, iam æquum eſt boni conſulere quæ ſtatuerint. Itidem ſanè tu quoq;, quem antea liberum erat non recipere, niſi dignus maioribus uideretur, hunc ſi probum arbitratus eſſe, denuo recepiſti, iam deinde non erit abdicandi ius. Siquidem indignum eſſe in que͂ iſta denuo fiant, ipſe teſtatus es, iā de integro frugi filium eſſe confeſſus. Itaq; nō conuenit pœnitere receptionis, ſed firma reconciliatio ſit oportet, nimirum poſt toties pronunciatam ſententiam, ac rem bis iudicatam, primū cum abdicares, alterum, cum ipſe mutaſti conſilium, meque in familiam reuocaſti, reſciſſis decretis ſuperioribus, cōfirmas illa quæ poſtea ſunt placita. Proinde perſeuera in his quæ proxime ſtatuiſti, tuumq; ipſius iudiciū ſerua. Pater ſis oportet, quādoquidem id abs te decretum, id probaſti, id ratum feciſti. Ego quidem ſi natura non eſſem filius, ſed adoptatum abdicare uelles, ne tum quidem exiſtimarim tibi licere. Quod enim initio liberum erat non facere, id ſemel factum, iniquum eſt reſcindere. Porrò eum qui primum natura ſit filius, poſtea iudicio, ſentētiaq; accerſitus, quæſo num par eſt rurſum expellere,

& eadem

κολάζοντας, ὅτε δὲ διαλλάττοντας. ὁπόταν σοι δοκῇ, ἅπαξ ἐγέννησας, ἅπαξ ἀνατέθροφας, ἅπαξ καὶ τὸ ἀποκηρύττειν ἀντὶ τούτων ἔχεις· καὶ τότε ἢν δικαίως αὐτὸ ποιεῖν δοκῇς, τὸ δὲ ἄπαυστον τοῦτο καὶ ἀΐδιον, καὶ πολὺ καὶ ῥᾴδιον, μεῖζον ἤδη τῆς πατρικῆς ἐστιν ἐξουσίας. μὴ δὴ πρὸς Διός, ὦ ἄνδρες δικασταί, συγχωρήσητε αὐτῷ ἑκούσιον τὴν ἀνάληψιν πεποιημένῳ, καὶ λύοντι τὴν γνῶσιν τῶν πάλαι δικαστηρίων, καὶ ἀκυροῦντι τὴν ὀργήν, αὖθις, ἐπὶ τὴν αὐτὴν τιμωρίαν ἀνακαλεῖν, καὶ ἐπὶ τὴν ἐξουσίαν τὴν πατρικὴν ἀνατρέχειν, ἧς ἔξωρος ἤδη, καὶ ἕωλος ἡ προθεσμία, καὶ μόνῳ τούτῳ ἄκυρος, καὶ προσδεδαπανημένη. ὁρᾶτε γάρ που καὶ ἐν τοῖς ἄλλοις δικαστηρίοις ὡς ἀπὸ μὲν τῶν κλήρῳ λαχόντων δικαστῶν, ἤν τις ἄδικον οἴηται γεγενῆσθαι τὴν κρίσιν, δίδωσιν ὁ νόμος, ἐς ἕτερον ἐφεῖναι δικαστήριον. ἢν δέ τινες ἑκόντες αὐτοὶ συνθῶνται δικαστάς, καὶ προελόμενοι ἐπιτρέψωσι δίαιταν, οὐκ ἔτι. οἷς γὰρ ἐξῆν, μὴ δὲ τὴν ἀρχὴν ἐμμένειν, εἰ τούτους τις αὐθαίρετος εἵλετο, στέργειν ἐστὶ δίκαιος τοῖς ἐγνωσμένοις. οὕτω δὴ καὶ σύ, ὃν ἐξῆν, μηκέτ' ἀναλαμβάνειν, εἰ μὴ ἂν ἄξιος ἐδόκει τοῦ γένους, τοῦτον εἰ χρηστὸν ἡγησάμενος εἶναι πάλιν ἀνείληφας, οὐκ ἔτ' ἀποκηρύττειν ἕξεις. ὅτι γάρ, οὐκ ἄξιος αὖθις παθεῖν ταῦτα, ὑπ' αὐτοῦ σοῦ μεμαρτύρηται, καὶ χρηστὸς ἤδη ἀνωμολόγηται. ἀμετανόητον οὖν τὴν ἀνάληψιν καὶ τὴν διαλλαγὴν βέβαιον εἶναι προσήκει. μετὰ κρίσιν οὕτω πολλήν, καὶ δύο δικαστήρια. ἓν μὲν τὸ πρῶτον, ἐφ' ὃν παρῃτήσω, δεύτερον δὲ τὸ σόν, ὅτε μετεβουλεύσω, καὶ ἀνάστατον ἐποίησας τὰ πρότερον ἐγνωσμένα λύσας, βεβαιοῖς τὰ μετ' ἐκεῖνα βεβουλευμένα, μένε τοίνυν ἐπὶ τῶν τελευταίων, καὶ φύλαττε τὴν σαυτοῦ κρίσιν, πατέρα σε εἶναι δεῖ. τοῦτο γὰρ ἔδοξέ σοι, τοῦτ' ἐδοκίμασας, τοῦτ' ἐκύρωσας. ἐγὼ μὲν οὖν δὲ εἰ μὴ φύσει παῖς ἦν, θέμενος δὲ ἀποκηρύττειν ἤθελες, ἐξεῖναι ἄν σοι ᾠόμην. ὃ γὰρ τὴν ἀρχὴν ποιεῖν δυνατὸν ἦν, τοῦτ' ἄδικον λύειν ἅπαξ γενόμενον. τὸν δὲ καὶ φύσει, καὶ αὖθις προαιρέσει, καὶ γνώμῃ εἰσπεποιημένον, πῶς εὔλογον ἂν ἀπωθεῖσθαι,

& eadem familiaritate priuare ſæpius? Age quid ſi forte ſeruus eſſem,ac tu quidem primum improbum eſſe ratus,in uincula conieciſſes , deinde ubi cognitum eſt me nihil peccaſſe, manumiſiſſes,num tibi liceret,utcunq; contigerit iraſci,rurſus in eādem reuocare ſeruitutem? Minime liceret. Iſtiuſmodi igitur acta,leges firma uolunt eſſe,ac perpetuo ualere.Ergo cum pluribus etiam argumentis docere poſſim,nō eſſe ius huic abdicare denuo,quem ſemel abdicatum,ſponte ſua receperit,tamen finem faciam.Nunc ſpectate cuiuſmodi filium parat abdicare. Atq; illud nondum dicam,me tum imperitum abdicatum fuiſſe,nunc abdicari medicum:nihil enim mihi in hac cauſa ſuffragetur ars,tum iuuenem,nunc ætate prouectū ,ut ætas etiam ipſa fidem faciat,me nihil peccaſſe. Nam leue fortaſſis hoc quoq;,uerum tum quidem,etiamſi nullo commiſſo peccato,ut ego quidē dixerim,ſed nec benemeritus ,alienabar à familia. Nunc porrò cum nuper ſalutem dederim ,ac beneficus extiterim,exigor. Quare qd fieri poteſt ingratius? ut mea ſeruatus opera,tantoq; elapſus à diſcrimine,protinus ſanationē illam huiuſmodi factis penſet,nulla meritorum habita ratiōe, ſed uſqadeo facile mandarit obliuioni,atq; in ſolitudinem abigat eum,qui iure ſit obſecutus,cum præter ius eijceretur ,neq; ſolum non meminerit iniuriæ,uerumetiam & ſalutem attulerit,& ſanæ menti reſtituerit? Neq; enim exiguo iudices ,neq; uulgari in hunc collato beneficio,tamen huiuſmodi malis nūc uideor dignus. Porrò quanquam hic ignorat, quo in ſtatu tunc fuerit,uos tamen omnes noſtis,quid facientem hunc ,ſimul & patientem,& quibus affectum modis ,ego curandum ſuſceperim,ac medicis reliquis deſperantibus,fugiētibus familiaribus,nec propius accedere audentibus ,talem reddidi ,ut etiam accuſare poſſit ,ut de legibus diſſerere. Quin magis ſi exemplum quæris pater,cum propemodum talis eſſes,qualis nunc eſt uxor,ad priſtinam ſanitatem reuocaui. Quare non eſt æquum,ut pro his officijs,huiuſmodi mihi gratia reponatur,

utq; in

καὶ πολλάκις τῆς μιᾶς οἰκειότητος ἀποστερεῖν; εἰ δ' οἰκέτης ὢν ἐτύγχανον, καὶ τὸ μὲν πρῶτον πονηρὸν οἰόμενος ἐπέδησας, μεταπεισθεὶς δὲ ὡς οὐδὲν ἠδίκουν, ἐλεύθερον ἀφῆκας εἶναι, ἆρ' ἂν σοὶ πρὸς καιρὸν ὀργισθέντι, αὖθις ἐξῆν ἐς τὴν ὁμοίαν δουλείαν ἐπανάγειν; οὐδαμῶς. τὰ γὰρ τοιαῦτα, βέβαια καὶ διὰ παντὸς κύρια ὑπάρχειν οἱ νόμοι ἀξιοῦσιν. ὑπὲρ μὲν οὖν τοῦ μηκέτ' ἐξεῖναι τούτῳ ἀποκηρύττειν ὃν ἅπαξ ἀποκηρύξας, ἑκὼν ἀνέλαβεν, ἔτι πολλὰ εἰπεῖν ἔχων, ὅμως παύσομαι. σκέψασθε δὲ ἤδη δὴ οἷον ὄντα, καὶ ἀποκηρύξει με. καὶ οὐδέπω τοῦτό φημι, ὡς τότε μὲν ἰδιώτην, νῦν δ' ἰατρόν. οὐδὲν γὰρ ἂν πρὸς τὴν ἡ τέχνη συναγωνίσαιτο, οὐδ' ὅτι τότε μὲν νέον, νῦν δ' ἤδη καὶ προβεβηκότα, καὶ τὸ πιστὸν τοῦ μηδὲν ἀδικῆσαι ἂν παρὰ τῆς ἡλικίας ἔχοντα. μικρὸν γὰρ ἴσως καὶ τοῦτο. ἀλλὰ τότε μὲν εἰ καὶ μηδὲν ἠδικημένος ὡς ἂν ἔγωγε φαίην, ἀλλ' οὐδ' εὖ πεπονθώς, ἀπήλαυνε τῆς οἰκίας, νῦν δὲ σωτῆρα ἔναγχος καὶ εὐεργέτην γεγενημένον. οὗ τί γένοιτ' ἂν ἀχαριστότερον, σωθέντα δι' ἐμὲ καὶ τηλικοῦτον κίνδυνον διαπεφευγότα, τοῖς τοιούτοις εὐθὺς ἀμείβεσθαι, τῆς θεραπείας ἐκείνης οὐδ' ἕνα λόγον ἔχοντα, ἀλλ' οὕτω ῥᾳδίως ἐπιλελῆσθαι, καὶ ἐπὶ τὴν ἐρημίαν ἐλαύνειν, τὸν ἐφησθέντ' ἂν δικαίως ἐφ' οἷς ἀδίκως ἐξεβέβλητο, μὴ μόνον δὲ οὐ μνησικακήσαντα, ἀλλὰ καὶ σώσαντα καὶ σωφρονεῖν παρασκευάσαντα. οὐ γὰρ μικρόν, ὦ ἄνδρες δικασταί, οὐδὲ τὸ τυχὸν εὖ πεποιηκὼς αὐτόν, ὅμως τῶν τοιούτων νῦν ἀξιοῦμαι. ἀλλ' εἰ καὶ οὗτος ἀγνοεῖ τὰ τότε, πάντες ὑμεῖς ἴστε, οἷα ποιοῦντα αὐτόν, καὶ πάσχοντα, καὶ ὅπως διακείμενον ἐγὼ παραλαβών, τῶν μὲν ἄλλων ἰατρῶν ἀπεγνωκότων, τῶν δ' οἰκείων φευγόντων, καὶ μηδὲ πλησίον προσιέναι τολμώντων, τοιοῦτον ἀπέφηνα, ὡς καὶ κατηγορεῖν δύνασθαι, καὶ περὶ τῶν νόμων διαλέγεσθαι. μᾶλλον δὲ ὁρᾷς, ὦ πάτερ, τὸ παράδειγμα, τοιοῦτον ὄντα σε παρ' ὀλίγον οἷα νῦν ἡ γυνή ἐστι, πρὸς τὴν ἀρχαίαν φρόνησιν ἐπανήγαγον. οὐ δίκαιον οὖν ταύτην μοι γενέσθαι ἀντ' ἐκείνων τὴν ἀμοιβήν,

atq; in me unum tantummodo ſanus ſis. Etenim te non mediocribus à me beneficijs affectum eſſe, uel ex his ipſis, liquet quibus me criminaris. Nam quem ob hoc odio perſequeris, quod uxorem extremo laborantem periculo, grauiſſimeq; affectam non ſanem, qui fit, ut eundem non multo potius chariſſimum habeas, quum ſimili morbo liberarim, non gratias agas, tam acerbis ereptus malis? At tu, quod quidem eſt ingratiſſimum, ſimulatq; ad te rediſti, protinus in ius trahis: ſalute donatus, punis, & ad uetus recurris odium, eandem recitas legem. Egregiam igitur mercedem perſoluis arti, dignamq; pro remedijs refers gratiam, qui quidem aduerſus medicum tantum ſanus es. Vos autem iudices, huic concedetis, ut de bene merito pœnas ſumat, ut ſalutis autorem expellat, ut eum qui ſanitati reſtituerit, oderit, ut per quẽ reuixit, ulciſcatur? Haud profecto concedetis, ſiquidem quod æquum eſt, facietis. Etenim ſi maximum aliquod flagitium in præſentia cõmiſiſſem, tamen ſuperioris beneficij nomine, non mediocriter mihi debebat: cuius reſpectu, memoriaq; conueniebat hunc præſentem iniuriam negligere, & ob illa priora facile ignoſcere: maxime ſi tam ingens ſit beneficium, ut omnia ſuperet, quæ poſtea poſſint accidere. Quod equidem mihi in hunc competere puto, quem ſeruaui, qui mihi totius uitæ debitor eſt: cui præſtiti ut ſit, ut ſapiat, ut intelligat: præſertim cum cæteri omnes iam deſperarent, ſeq; morbo impares eſſe faterentur. Nam & illud opinor, ad meriti mei cumulũ accedit, quod cum id temporis filius nõ eſſem, cũ nihil eſſet cauſæ, quæ me cogeret curationẽ ſuſcipere, uerum cũ liber eſſem, atq; alienus, à naturali cauſa ſolutus, tamẽ haud diſſimulaui, ſed ultroneus, inuocatus, iniuſſus adij, ſuccurri, adniſus ſum, ſanaui, reſtitui, meũ ipſius patrẽ ſeruaui, de abdicatiõe me purgaui, irã beneuolẽtia ſedaui, legẽ pietate ſuſtuli, magnoq; beneficio reditũ in familiam emi, atq; in tempore adeo periculoſo fidem erga patrem demonſtraui,

οὐ κατ' ἐμοῦ σε μόνον σωφρονεῖν, ὅτι γοῦν μὴ μικρὰ ὑπ' ἐμοῦ εὐηργέτησαι. καὶ ἀπ' αὐτῶν, ὧν ἐγκαλεῖς δῆλόν ἐστιν. ὅς γοῦν ὡς ἂν ἐχάτρις οὖσαν τὴν γυναῖκα, καὶ παμπονήρως ἔχουσαν, οὐκ ἰώμενον μισεῖς, πῶς οὐ πολὺ μᾶλλον, ὅτι σε τῶν ὁμοίων ἀπήλλαξα, ὑπεραγαπᾷς, καὶ χάριν ὁμολογεῖς, τῶν οὕτω δεινῶν ἀπηλλαγμένος; σὺ δὲ ὅπερ ἀγνωμονέστατον σωφρονήσας εὐθὺς ἐς δικαστήριον ἄγεις, καὶ σεσωσμένος, κολάζεις. καὶ ἐπὶ τὸ ἀρχαῖον ἐκεῖνο μῖσος ἀνατρέχεις, καὶ τὸν αὐτὸν ἀναγινώσκεις νόμον. καλὸν γοῦν τὸν μισθὸν ἀποδίδως τῇ τέχνῃ, καὶ ἀξίας ἀμοιβὰς τῶν φαρμάκων, ἐπὶ τὸν ἰατρὸν ὑγιαίνων μόνον. ὑμεῖς δ', ὦ ἄνδρες δικασταί, τὸν εὐεργέτην τοῦτον κολάζειν ἐπιτρέψετε, καὶ τὸν σώσαντα ἐξελαύνειν, καὶ τὸν σωφρονήσαντα μισεῖν, καὶ τὸν ἀναστήσαντα τιμωρεῖσθαι, οὐκ, ἤν γε τὰ δίκαια ποιῆτε. καὶ γὰρ εἰ τὰ μέγιστα νῦν ἁμαρτάνων ἐτύγχανον, ἦν μοι τὶς οὐ μικρά, προοφειλομένη χάρις ἐς ἣν ἀποβλέποντα τοῦτον, καὶ ἧς μεμνημένον καλῶς εἶχε, τῶν μὲν παρόντων καταφρονεῖν, δι' ἐκεῖνα δὲ πρόχειρον τὴν συγγνώμην ἔχειν, καὶ μάλιστα εἰ τηλικαύτη τις ἡ εὐεργεσία τυγχάνει, ὡς πάντα ὑπεραίρειν τὰ μετὰ ταῦτα, ὅπερ οἶμαι κἀμοὶ πρὸς τοῦτον ὑπάρχειν, ὃν ἔσωσα, καὶ ὃς τοῦ βίου παντὸς, χρεώστης ἐστί μοι, καὶ τῷ τὸ εἶναι καὶ σωφρονεῖν, καὶ τὸ συνιέναι παρέσχημαι, καὶ μάλιστα ὅτε οἱ ἄλλοι πάντες ἤδη ἀπεγνώκεισαν, καὶ ἥττους εἶναι ὡμολόγουν τῆς νόσου. τοῦτο γὰρ μεῖζον οἶμαι ποιεῖν τὴν ἐμὴν εὐεργεσίαν, ὡς οὔτε υἱὸς ὢν τότε, οὔ τι ἀναγκαίαν τῆς θεραπείας ἔχων αἰτίαν, ἀλλ' ἐλεύθερος καθεστώς, καὶ ἀλλότριος, τῆς φυσικῆς αἰτίας ἀφειμένος. ὅμως οὐ περιεῖδον, ἀλλ' ἐθελοντής, ἄκλητος, αὐτεπάγγελτος ἧκον, ἐβοήθησα, προσελιπάρησα, ἰασάμην, ἀνέστησα. καὶ πατέρα ἐμαυτῷ διεφύλαξα, καὶ ὑπὲρ τῆς ἀποκηρύξεως ἀπελογησάμην, καὶ τῇ εὐνοίᾳ τὴν ὀργὴν ἔπαυσα, καὶ τὸν νόμον ἔλυσα, τῇ φιλοστοργίᾳ, καὶ μεγάλης εὐεργεσίας, τὴν ἐς τὸ γένος ἐπάνοδον ἐπριάμην, καὶ ἐν οὕτως ἐπισφαλεῖ καιρῷ τὴν πρὸς τὸν πατέρα πίστιν ἐπεδειξάμην.

καὶ μετὰ

meq; ipſum artis auxilio inſinuaui, ac triſtibus in rebus legiti-mus filius apparui. Quàm multa enim me fuiſſe paſſum arbi-tramini, quantum & exhauſiſſe laborum? dum adſideo, dū ob-ſeruo, dum opportunitates capto, nunc cedēs patris uehemē-tiæ, nunc artem admouens ad breue tempus concedente mor-bo. Eſt autem hoc omnium quæ ſunt in arte medicorum peri-culoſiſſimū, huiuſmodi medicari, ac propius accedere ad hos, qui ad eum ſunt affecti modum. Fit enim non raro, ut exæſtu-ante malo, rabiem in proximos exerceant. Me tamē nihil ho-rum piguit, neq; grauatus ſum, uerum aderam, modis omni-bus cum morbo luctans poſtremo ſuperaui pharmaco. Ne ue-ro quiſquam hoc audito, protinus apud ſe cogitet: Quis aut quantus labor miſcere pharmacū. Etenim multa prius ſunt fa-cienda, præſtruenda uia dando pharmaco, præparandum cor-pus, quo facilius recipiat medicationem, deq; omni corporis habitu ſollicitus ſit medicus oportet, inaniens, extenuans, cibis idoneis alens, mouens ad omne quod conducit, ſomnos ac-cerſendi rationes excogitās, ſolitudines arte reperiēs. Quibus in rebus ægroti cæteri facile pareant. At qui laborant inſania, ob animi libertatem intractabiles ſunt, ac gubernatu difficiles, ipſiq; medico periculoſi, neq; qui facile cura expugnentur. Pro inde ſæpenumero cum effecerimus, ut iam ſperemus proxime adeſſe morbi finem, leue aliquod erratum incidens, renouato malo, cuncta illa ſuperiora facile ſubuertit, curationem impe-dit, artem fallit. Eum igitur qui hæc omnia ſuſtinuerit, qui cum morbo tam graui ſit luctatus, qui malum malorum omniū ex-pugnatu difficillimū uicerit, huic ut iterū abdicet permittetis, utq; leges in benemeritū interpretet ſuo arbitratu cōcedetis atq; eū cū ipſa natura bellū gerere ſinetis? Ego naturæ parens iudices, patrē mihi ipſi ſeruo, cuſtodioq;, etiā ſi hic qdē iniuria me afficiat. Quod ſi filiū benemeritū, leges, ut ait, ſecutus, pdit, & à familia alienat, hic nimirū liberorū oſor erit. Ego pius i pa-trē, ego naturā āplector. Iſte naturā cōtēnit, faſq; & ius uiolat.

O patrē

καὶ μετὰ τῆς τέχνης ἐμαυτὸν εἰσεποίησα, καὶ γνήσιος υἱὸς ἐν τοῖς δεινοῖς ἀνεφάνην. πόσα γὰρ οἴεσθε παθεῖν με; πόσα καμεῖν παρόντα; ὑπηρετοῦντα, καιροφυλακοῦντα; νῦν μὲν εἴκοντα τῇ τοῦ πατρὸς ἀκμῇ, νῦν δὲ τὴν τέχνην ἐπάγοντα, πρὸς ὀλίγον ἐνδιδόντος τοῦ κακοῦ. ἔστι δὲ τῶν ὄντων ἁπάντων τούτων ἐν τῇ ἰατρικῇ τὸ ἐπισφαλέστατον, τοὺς τοιούτους ἰᾶσθαι, καὶ πλησιάσαι οὕτω διακειμένοις. ἐς γὰρ τοὺς πλησίον πολλάκις ἀφιᾶσι τὴν λύτταν, ἐπιζέσαντος τοῦ πάθους. καὶ ὅμως πρὸς οὐδὲν τούτων ἀπώκνησα, οὐδ' ἀπεδειλίασα, συνὼν δὲ καὶ πάντα τρόπον ἀντεξεταζόμενος τῇ νόσῳ, τὸ τελευταῖον ἐκράτησα τῷ φαρμάκῳ. μὴ γάρ τοι ἀκούσας εὐθέως ὑπολάβῃ τις. ποῖος δὲ ἢ πόσος ὁ κάματος ἐγχέαι φάρμακον. πολλὰ γὰρ πρὸ τούτου γενέσθαι δεῖ, καὶ προοδοποιῆσαι τῇ πόσει, καὶ προπαρασκευάσαι ῥᾴδιον ἐς ἴασιν τὸ σῶμα, καὶ τῆς ἁπάσης ἕξεως φροντίσαι, κενοῦντα, καὶ ἰσχναίνοντα, καὶ οἷς χρὴ τρέφοντα, καὶ κινοῦντα ἐς ὅσον χρήσιμον, καὶ ὕπνους ἐπινοοῦντα, καὶ ἠρεμίας μηχανώμενον. ἅπερ οἱ μὲν ἄλλο τι νοσοῦντες, ῥᾳδίως πεισθεῖεν ἄν, οἱ μεμηνότες δὲ, διὰ τὴν ἐλευθερίαν τοῦ νοῦ, δυσάγωγοι καὶ δυσηνιόχητοι, καὶ τῷ ἰατρῷ ἐπισφαλεῖς, καὶ τῇ θεραπείᾳ δυσκαταγώνιστοι. ὅτ' ἂν γοῦν πολλάκις οἰήσωμεν, ἤδη πλησίον γενέσθαι τοῦ τέλους, καὶ ἐλπίσωμεν, ἐμπεσόν τι μικρὸν ἁμάρτημα, ἐπακμάσαντος τοῦ πάθους, ἅπαντα ῥᾳδίως ἐκεῖνα ἀνέτρεψε, καὶ ἀνεπόδισε τὴν θεραπείαν, καὶ τὴν τέχνην διέσφηλε. τὸν οὖν ταῦτα πάντα ὑπομεμενηκότα, καὶ οὕτω χαλεπῷ νοσήματι προσπαλαίσαντα, καὶ πάθος ἁπάντων παθῶν τὸ δυσαλωτότατον νενικηκότα, ἔτι τούτῳ ἀποκηρύττειν ἐπιτρέψετε, καὶ τοὺς νόμους ὡς βούλεται ἑρμηνεύειν κατὰ τοῦ εὐεργέτου συγχωρήσετε, καὶ τῇ φύσει πολεμεῖν αὐτὸν ἐάσετε; ἐγὼ τῇ φύσει πειθόμενος σῴζω καὶ διαφυλάττω, ὦ ἄνδρες δικασταί, τὸν πατέρα ἐμαυτοῦ, κἂν ἀδικῇ ὄντα. ὁ δὲ τὸν εὐεργετηκότα παῖδα τοῖς νόμοις, ὥς φησιν, ἀκολουθῶν διαφθείρει, καὶ τοῦ γένους ἀποστερεῖ μισόπαις ὤν, ἐγὼ φιλοπάτωρ γίγνομαι, ἐγὼ τὴν φύσιν ἀσπάζομαι, οὗτος τὰ τῆς φύσεως παρορᾷ, καὶ καθυβρίζει δίκαια.

O patrem iniuſte proſequentem odio. O filium iniuſtius amã tem. Nam mihi ipſi uitio uerto, patre compellente, quod odio habitus, cum præter cauſam amo, & magis amo quàm oportet. Atqui natura comparatum eſt, ut patres liberos amẽt magis, quàm liberi parentes. Verum hic ſtudio tum leges cõtemnit, quæ filios nihil commeritos familiæ ſeruant, tum naturam quæ parentes ad uehemens natorum deſiderium incitat. Nõ ſolum enim cum plures habeat in me beneuolẽtiæ cauſas, maiorem, uti debebat, beneuolentiam non adiungit atque addit, aut quod eſt minus, me ſaltem imitatur, meumq; æmulatur amorem. Sed ó calamitatem, quin inſuper odit amantem, charitate proſequentem expellit, benemerentem lædit, complectẽtem abdicat, legesq; liberis fauentes, ceu liberis infenſas, in me torquere conatur. O bellum, quod contra naturam legibus moues pater. Non ſunt iſta, non ſunt, inquam, quemadmodum tu uis. leges bene conditas, male interpretaris pater. Non pugnat natura cum lege, in his quæ ad beneuolentiam pertinent. Hic inter ſeſe conſentiunt, & altera utriq; auxilio eſt ad delendas iniurias. Contumelia afficis benemeritum. Offendis naturam. Cur legibus quoq; ſimul cum natura facis iniuriã? Quæ cum honeſtæ, iuſtæ, liberorum amantes eſſe cupiant, nõ pateris eſſe, quippe quas aduerſus unum filium, tanq; aduerſus multos ſæpius tentes. Nec finis in ſupplicijs quietem inuenire, quæ uelint in beneuolentia liberorum erga parentes conquieſcere: quanquam alioqui ne poſitas quidẽ aduerſus eos, qui nihil peccarint. At ſanè leges ingratitudinis actionem concedunt in eos, qui benemeritis non retulerint gratiam. Atqui non ſolum nõ refert gratiam, uerumetiam punire conatur ob ea ipſa quibus adiutus eſt beneficio. Cõſiderate num quicquã facere poſſit iniquius? Itaq; non poſſe hunc iam abdicare denuo, qui paternam poteſtatẽ ſemel expleuerit, ac lege ſit uſus: præterea non eſſe æquum, cum qui tanta præſtiterit beneficia, expellere, familiaq; exigere, ſatis opinor, demonſtratum.

Nunc

ὦ πατρὸς μισοῦντος ἀδίκως. ὦ παιδὸς φιλοῦντος ἀδικώτερον. ἐγκαλῶ γὰρ ἐμαυτῷ τοῦ πατρὸς ἀναγκάζοντος, ὅτι μισούμενος οὐ δέον φιλῶ, καὶ φιλῶ πλέον, ἢ προσῆκε. καίτοι γε ἡ φύσις τοῖς πατράσι τοὺς παῖδας μᾶλλον, ἢ τοῖς παισὶ τοὺς πατέρας ἐπιτάττει φιλεῖν. ἀλλ' οὗτος ἑκὼν καὶ τοὺς νόμους παρορᾷ, οἳ τοὺς οὐδὲν ἀδικηκότας παῖδας τῷ γένει φυλάττουσι, καὶ τὴν φύσιν, ἣ τοὺς γεννήσαντας ἕλκει πρὸς πόθον τῶν γεγεννημένων πολύν, οὐχ ὅπως μείζους ἀρχὰς εὐνοίας ἔχων πρὸς ἐμέ, μείζονα τὰ δίκαιά μοι τῆς εὐνοίας ἐσφέρει, καὶ ἐπιδίδωσιν. ἢ τό γε ἔλαττον ἐμὲ μιμεῖται, καὶ ζηλοῖ τοῦ φίλτρου; ἀλλ' οἴμοι τῆς συμφορᾶς, προσέτι καὶ μισεῖ φιλοῦντα, καὶ ἀγαπῶντα ἐλαύνει, καὶ εὐεργετοῦντα ἀδικεῖ, καὶ ἀσπαζόμενον ἀποκηρύττει, καὶ τοὺς φιλοπαίδας νόμους ὡς μισόπαιδας κατ' ἐμοῦ μεταχειρίζεται. ὦ μάχης ἣν ἐσάγεις πάτερ τοῖς νόμοις κατὰ τῆς φύσεως. οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν ὡς θέλεις. κακῶς ἑρμηνεύεις, ὦ πάτερ, καλῶς κειμένους τοὺς νόμους. οὐ πολεμεῖ φύσις καὶ νόμος ἐν ταῖς εὐνοίαις, ἀκολουθοῦσιν ἀλλήλοις ἐνταῦθα, καὶ συναγωνίζονται τῇ λύσει τῶν ἀδικημάτων. ὑβρίζεις τὸν εὐεργέτην, ἀδικεῖς τὴν φύσιν. τί καὶ τοὺς νόμους συναδικεῖς τῇ φύσει; οὓς καλοὺς καὶ δικαίους, καὶ φιλοπαίδας εἶναι θέλοντας, οὐ συγχωρεῖς, καθ' ἑνὸς παιδὸς ὡς κατὰ πολλῶν κινῶν πολλάκις, καὶ ἡσυχάζειν οὐκ ἐῶν ἐν ταῖς τιμωρίαις τοὺς ἐν ταῖς τῶν παίδων πρὸς τοὺς πατέρας εὐνοίαις ἡσυχάζειν ἐθέλοντας. καίτοι γε ἐπὶ τοῖς μηδὲν ἡμαρτηκόσι μηδὲ κεῖσθαι. καὶ μὴν ὅτι γε νόμοι καὶ ἀχαριστίας δικάζεσθαι διδόασι κατὰ τῶν τοὺς εὐεργέτας μὴ ἀντευποιούντων. ὁ δὲ πρὸς τῷ μὴ ἀμείβεσθαι, καὶ ἐπ' αὐτοῖς οἷς εὖ πέπονθε κολάζειν ἀξιῶν, σκέψασθε εἴ τινα ὑπερβολὴν ἀδικίας ἀπολέλοιπεν. ὡς μὲν οὖν οὔ τι ἀποκηρύττειν ἔτι τούτῳ ἔξεστιν, ἅπαξ ἤδη τὴν πατρικὴν ἐξουσίαν ἀποπληρώσαντι, καὶ κεχρημένῳ τοῖς νόμοις, οὔ τι ἄλλως δίκαιον εὐεργέτην ἐς τὰ τηλικαῦτα γεγενημένον ἀπωθεῖσθαι, καὶ τῆς οἰκίας παραιτεῖσθαι, ἱκανῶς οἶμαι δέδεικται.

Nunc autem ad ipſam abdicationis cauſam ueniamus, & crimen cuiuſmodi ſit expendamus. At rurſum ad mentem eius qui legem condidit, recurramus neceſſe eſt. Etenim ut iſtud tibi donemus ad breue tempus licere, quotienſcunq; uelis abdicare, utq; præterea poteſtatem iſtam tibi largiamur, etiã aduerſus benemeritum, haud tamẽ ſimpliciter, opinor, neq; quibuſlibet de cauſis abdicabis. Neq; hoc dicit legis conditor. Quicquid utcunq; criminatus fuerit pater abdicato, ut ſatis ſit tantum uoluiſſe queri. Nam ſi id eſſet, quid opus erat iudicio? Verum uos iſtud expendere iubet iudices, num grauibus ac iuſtis de cauſis iraſcatur pater, nec ne. Hoc igitur in præſentia cõſiderate. Exordiar autem ab ijs, quæ protinus huius inſaniã ſunt conſecuta. Iam primum omniũ quod feci ſanæ mẽti reditus, illud erat. Reſcidit abdicationẽ. Ego ſeruator, beneficus, breuiter omĩa eram. In his niſi fallor, nihil adhuc eſſe poterat, quod cum crimine uideretur eſſe coniunctum. Deinde quid eſt omnium quod accuſat? Quod obſequium, quam curam filio dignam prætermiſi? Quando foris cubui? quas intempeſtiuas potationes, quas comeſſationes obijcis? Qui luxus? Quis leno pulſatus eſt? Quis accuſauit? Nemo ꝓfecto. Atq hæc ſunt, ob quæ præcipue lex permittit abdicare. Cæterum cœpit ægrotare nouerca. Quid iſtud mihi uertis crimini? mor biq; pœnam à me repoſcis? Nom repoſco, inquit. Sed quid? Quod eam curare iuſſus recuſas, ob hoc dignus fueris qui abdiceris, quippe immorigerus patri. Aſt ego quidem cuiuſmodi ſint iſta quæ iubet, in quibus quia non poſſim obſequi, uideor immorigerus, pauliſper differemus. Sed illud prius in totum dico. Neque lex huic concedit, ut quiduis imperet, neque mihi neceſſe eſt in omnibus omnino parere. Quædam enim mandata ſunt huiuſmodi, ut ſi non parueris, non ſis obnoxius pœnæ, quædam id genus, ut niſi obtemperaris, ira, ſupplicioq; ſis dignus, ueluti ſi ægrotes ipſe, & ego non curem. Si quid rerũ domeſticarũ curandũ ſit, & ego negligã.

Ἤδη δὲ καὶ ἐπ' αὐτὴν τὴν αἰτίαν ἔλθωμεν τῆς ἀποκηρύξεως, καὶ τὸ ἔγκλημα ἐξετάσωμεν, ὁποῖόν ἐστιν. ἀνάγκη δὲ αὖθις ἐπὶ τὴν γνώμην ἀναδραμεῖν τοῦ νομοθέτου. ἵνα γάρ σοι τοῦτο πρὸς ὀλίγον δῶμεν τὸ ἐξεῖναι ὁσάκις ἂν ἐθέλῃς ἀποκηρύττειν, καὶ κατά γε τοῦ εὐεργέτου προσέτι τὴν ἐξουσίαν ταύτην συγχωρήσομεν, οὐχ ἁπλῶς οἶμαι, οὐδ' ἐπὶ πάσαις αἰτίαις ἀποκηρύξεις, οὐδὲ τοῦτο ὁ νομοθέτης φησὶν, ὅτι ἂν τύχῃ ὁ πατὴρ αἰτιασάμενος, ἀποκηρυττέτω, καὶ ἀπόχρη θελῆσαι μόνον καὶ μέμψασθαι. τί γὰρ ἂν ἔδει δικαστηρίου; ἀλλ' ὑμᾶς ποιεῖ τοῦτο, ὦ ἄνδρες δικασταί, σκοπεῖν, εἴτ' ἐπὶ μεγάλοις καὶ δικαίοις ὁ πατὴρ ὀργίζεται, εἴτε καὶ μή. οὐκοῦν τοῦτ' ἤδη ἐξετάζετε. ἄρξομαι δὲ ἀπὸ τῶν μετὰ τὴν μανίαν. τὰ μὲν δὴ πρῶτα τῆς σωφροσύνης τοῦ πατρὸς λύσις ἦν τῆς ἀποκηρύξεως, καὶ σωτὴρ καὶ εὐεργέτης καὶ πάντα ἦν ἐγώ, καὶ οὐδὲν οἶμαι τούτοις ἔγκλημα προσεῖναι δύναται. τὰ μετὰ ταῦτα δὲ τί τῶν πάντων αἰτιᾷ; τίνα θεραπείαν; τίνα ἐπιμέλειαν ὑμῶν παρῆκα; πότε ἀπόκοιτος ἐγενόμην; τίνας πότους ἀκαίρους, τίνας κώμους ἐγκαλεῖς; τίς ἀσωτία, τίς πορνοβοσκὸς ὕβρισται; τίς ᾐτιάσατο; οὐδὲ εἷς; καὶ μὴν ταῦτά ἐστιν, ἐφ' οἷς μάλιστα ὁ νόμος ἀποκηρύττειν ἐφίησιν. ἀλλὰ νοσεῖν ἤρξατο ἡ μητρυιά. τί οὖν ἐμοὶ τοῦτ' ἐγκαλεῖς, καὶ νόσου δίκην ἀπαιτεῖς; οὔ φησιν. ἀλλὰ τί; ὅτι θεραπεύειν προσταττόμενος οὐ θέλεις, καὶ διὰ τοῦτ' ἂν ἄξιος εἴης ἀποκηρύξεως. ἐγὼ δὲ τὸ μὲν οἷα προστάττοντι αὐτῷ ὑπακούειν οὐ δυνάμενος ἀπειθεῖν δοκῶ, πρὸς ὀλίγον ὑπερθήσομαι. πρότερον δὲ ἁπλῶς ἐκεῖνό φημι, ὡς οὐ πάντα προστάττειν, οὔτε τούτῳ δίδωσιν ὁ νόμος, οὔτε μοι τὸ πείθεσθαι πᾶσι πάντως ἀναγκαῖον. ἔπειτα δ' οὖν τοῖς τῶν προσταγμάτων τὰ μὲν ἀνεύθυνά ἐστι, τὰ δὲ ὀργῆς καὶ τιμωρίας ἄξια. ἐὰν νοσῇς αὐτός, ἐγὼ δ' ἀμελῶ, ἐὰν τὰ κατ' οἶκον ἐπιμελεῖσθαι, ἐγὼ δ' ὀλιγωρῶ

Si quid rem ruſticam curandam mandes,atque ego recuſem.
Hæc omnia atque id genus alia, probabiles adferunt cauſas paternæ querelæ. Porrò cætera noſtri ſunt arbitrij, nempe quæ ad artes,& artium uſum pertinent: Maxime ſi nulla in re fiat iniuria patri. Iam ſi cui pictori præcipiat pater: Hæc pinge fili,illa nequaquam: Rurſum muſico, hanc pulſa harmoniam, illam ne pulſa: Tum fabro ærario: iſta cude, illa ne cude: num quiſquam hunc patietur abdicare filium propterea, quod nõ ex ipſius arbitrio artem exerceat? Nemo opinor. Atqui medendi ars,quanto eſt honoratior,uitæque conducibilior, tanto conuenit eſſe liberiores qui hac utuntur, ac iuſtum eſt, ut ars aliquo gaudeat priuilegio in exercendi facultate, ut neque cogatur uſquam, neque ferat imperium, res ſacra, deorum doctrina,uirorum eruditorum cura. Neq; in ſeruitutem trahatur legis: neq; timori,pœnisq; tribunalium, neq; calculis, ac patris minis,& indocti hominis iræ ſit obnoxia. Proinde ſi tibi palàm ac ſimpliciter ad hunc modum reſpondiſſem: Nolo curare cum poſſim,ſed artem ſoli mihi didici,ac patri, cæteris omnibus imperitus eſſe uolo, quis eſt tyrannus uſq; adeo ferox,ut cogat etiam nolentem uti arte? Siquidem iſtiuſmodi officia blanditijs,precibusq;,ni fallor, non legibus,ira,iudicijs, cõuenit elicere. Perſuadere medico oportet, nõ iubere, ut uelit non ut metuat: neq; ad ſanandũ adigendus eſt, ſed ultro ac lubens accedat oportet,immunis à compulſione patris. Immunis eſt ars ipſa,quandoquidem ciuitates quoq; publicitus honores,præminentias,immunitates,priuilegia medicis tribuũt. Hæc igitur in genere poteram artis nomine reſpondere, etiã ſi tu me illam docuiſſes. Si multum ſtudij,multum pecuniarũ inſumpſiſſes,ut diſcerem,& unam hanc curationẽ, etiãſi eiuſmodi eſſet,ut præſtare poſſem,recuſaſſem. Nunc illud cogita, quàm rem modis omnibus ingratã & iniquã facias,qui nõ ſinas me,à meipſo mihi partis libere uti. Hanc ego artem tum cũ nõ eſſem filius tuus,perdidici,neq; tuis ſubiectus legibus.

Atq; hanc

ἐὰν τὰ κατ' ἰατρὸν ἐπισκοπεῖν προστάττῃς, ἐγὼ δὲ ὀκνῶ. πάντα ταῦτα καὶ τὰ τοιαῦτα εὐλόγους ἔχει τὰς προφάσεις, καὶ τὰς μέμψεις πατρικάς, τὰ δ' ἄλλα, ἐφ' ὑμῖν ἐστι τοῖς παισίν, ὄντα τῶν τεχνῶν καὶ τῆς τούτων χρήσεως, καὶ μάλιστα, εἰ μηδὲν αὐτὸς ὁ πατὴρ ἀδικεῖται. ἐπεί τοι ἂν τῷ γραφεῖ πατὴρ προστάττῃ ταῦτα μὲν τέκνον γράφε, ταυτὶ δὲ μὴ καὶ τῷ μουσικῷ, τήνδε μὲν τὴν ἁρμονίαν κροῦε, τήνδε δὲ μή, καὶ τῷ χαλκεύοντι, τοιαῦτα μὲν χάλκευε, τοιαῦτα δὲ μή, ἆρα ἄν τις ἀνάσχοιτο ἀποκηρύττοντα, ὅτι μὴ κατὰ τὰ ἐκείνῳ δοκοῦντα ὁ παῖς χρῆται τῇ τέχνῃ; οὐδὲ εἷς οἶμαι. τὸ δὲ τῆς ἰατρικῆς ὅσῳ σεμνότερόν ἐστι καὶ τῷ βίῳ χρησιμώτερον, τοσούτῳ καὶ ἐλευθεριώτερον εἶναι προσήκει τοῖς χρωμένοις. καὶ τινα προνομίαν ἔχειν τὴν τέχνην δίκαιον τῇ ἐξουσίᾳ τῆς χρήσεως, ἀναγκάζεσθαι δὲ μηδέν, μηδὲ προστάττεσθαι πρᾶγμα ἱερὸν καὶ θεῶν παίδευμα, καὶ ἀνθρώπων σοφῶν ἐπιτήδευμα, μὴ δὲ ὑπὸ δουλείαν γενέσθαι νόμου, μὴ δ' ὑπὸ φόβον καὶ τιμωρίαν δικαστηρίου, μὴ δ' ὑπὸ ψῆφον, μηδὲ πατρὸς ἀπειλήν, καὶ ὀργὴν ἰδιωτικήν. ὥστε καὶ εἰ τοῦτό σοι σαφῶς οὑτωσὶ καὶ διαρρήδην ἔλεγον, οὐ βούλομαι, οὐδὲ θεραπεύω δυνάμενος, ἀλλ' ἐμαυτῷ μόνῳ τὴν τέχνην οἶδα καὶ τῷ πατρί, τοῖς δ' ἄλλοις ἅπασιν ἰδιώτης εἶναι βούλομαι, τίς τύραννος οὕτω βίαιος, ὡς ἀναγκάσαι ἂν καὶ ἄκοντα χρῆσθαι τῇ τέχνῃ; τὰ γὰρ τοιαῦτα ἱκετείαις καὶ δεήσεσιν, οὐ νόμοις καὶ ὀργαῖς καὶ δικαστηρίοις ὑπάγειν οἶμαι προσήκει. πείθεσθαι τὸν ἰατρὸν χρή, οὐ κελεύεσθαι, βούλεσθαι, οὐ φοβεῖσθαι, ἐπὶ τὴν θεραπείαν οὐκ ἄγεσθαι, ἑκόντα δὲ ἐρχόμενον ἥδεσθαι. πατρικῆς δ' ἀνάγκης ἄμοιρος, ἀτελὴς ἡ τέχνη. ὅπου γε τοῖς ἰατροῖς, καὶ δημοσίᾳ αἱ πόλεις τιμὰς καὶ προεδρίας καὶ ἀτελείας, καὶ προνομίας διδόασι. ταῦτα μὲν οὖν, ἁπλῶς ἂν εἶχον εἰπεῖν ὑπὲρ τῆς τέχνης, εἰ καὶ σοῦ διδαξαμένου με, καὶ πολλὰ ἐπιμεληθέντος καὶ ἀναλώσαντος, ὡς μάθοιμι, πρὸς μίαν ὅμως θεραπείαν ταύτην δυνατὴν οὖσαν, ἀντέλεγον. νῦν δὲ, κἀκεῖνο ἐννόησον, ὡς παντάπασιν ἄγνωμον ποιεῖς οὐκ ἐῶν με χρῆσθαι μετ' ἐλευθερίας ἐμῷ κτήματι. ταύτην ἐγὼ τὴν τέχνην οὐχ υἱὸς ὢν σὸς ἐξέμαθον, οὐδὲ τῷ σῷ νόμῳ ὑπεκείμην, ὅς.

καὶ ὅμως

Atque hanc tamen tibi didici. Huius fructum primus ſenſiſti, cum nihil adiumenti contuleris ad eius cognitionem. Quem præceptorem mercede conduxiſti? Quem pharmacorum apparatum comparaſti? Nullum omnino, uerum inops, ac rerum neceſſariarum indigēs, à præceptoribus mei miſertis ſum edoctus. Nam abs te patre huiuſmodi mihi dabatur ad diſcēdum uiaticum, moleſtia, ſolitudo, egeſtas, familiarium odium, cognatorum auerſatio. Pro iſtis itaque factis poſtulas uti arte mea, uisq́ꝫ earum rerum eſſe dominus, quas mihi paraui tum cum mihi non eſſes dominus. Boni conſule, ſi quid antehac ultro, nullo prouocatus officio, bene de te ſum meritus, cum nullo nomine ullam abs te gratiam poſſem repoſcere. Cæterum non conuenit ſanè, ut meum beneficium mihi in reliquū tempus pariat neceſſitatem: ut quod uolēs beneficio iuui, uertatur in occaſionem, ut poſtea nolenti præcipias, iamq́ꝫ in conſuetudinem trahatur, ut qui ſemel ſanauerit aliquē, ſemper deinde curet omnes quoſcunqꝫ uoluerit is, qui ſanatus eſt. Etenī ad iſtum modum fieret, ut quos curaremus, eos dominos nobis creauerimus, nosq́ꝫ metipſos illis tradiderimꝰ, mercedis loco ſeruitutem accepturi, & ad omnia quæ iuſſerint obtēperaturi. Qua re quid eſſe poteſt iniquius? Quoniam te grauiter adeo laborantem reſtitui, ob id exiſtimas tibi ius eſſe arte utendi mea? Atqꝫ hæc quidem dicere poterā: ſi mihi hic imperaſſet ea, quæ meæ ſint facultatis, atqꝫ ego nō om̄ino modis om̄ibus, uel inuitus obtemperaſſem. At nunc tandē perpendite, cuiuſmodi ſint huius imperata. Quādoquidē, inquit, me laborantē inſania, ſanaſti: inſanit aūt & uxor, eodēq́ꝫ tenetur morbo, ſic enim opinatur, & à cæteris medicis ad eundē modū deſtituta eſt: tuq́ꝫ potes omnia, id quod re demōſtraſti: ſanato hāc quoqꝫ, ac morbo leuato. Id ſi quis ſimpliciter ad hunc audiat modum, uehemēter æquum uideatur, præſertim illiterato, artisq́ꝫ medicinæ imperito. Sin aūt me auſcultetis artis nomine reſpōdentem, intelligetis nimirum, nec omnia eſſe noſtræ facultatis

neqꝫ con-

καὶ ὅμως αὐτὴν μεμάθηκά σοι, καὶ πρῶτος αὐτῆς ἀπολέλαυκας. εἰ δὲ ἦν παρὰ σοῦ πρὸς τὸ μαθεῖν ἔχων, τίνα διδάσκαλον ἐμισθωσάμην; τίνα φαρμάκων παρασκευήν; οὐδ' ἂν ἕνα οὖν, ἀλλὰ πενόμενος ἐγὼ, καὶ τῶν ἀναγκαίων ἀπορούμενος, καὶ ὑπὸ τῶν διδασκάλων ἐλεούμενος, ἐπαιδευόμην. καί μοι τοιαῦτα παρὰ τοῦ πατρὸς ἦν πρὸς τὸ μαθεῖν ἐφόδια, λύπη, καὶ ἐρημία, καὶ ἀπορία, μῖσος οἰκείων, καὶ ἀποστροφὴ συγγενῶν. ἀντὶ τούτων τοίνυν χρῆσθαί μου τῇ τέχνῃ ἀξιοῖς, καὶ δεσπότης εἶναι θέλεις, τῶν ὅτ' οὐκ ἦσθα δεσπότης πεπορισμένων. ἀγάπα εἴ τι σε, καὶ πρότερον ἑκὼν, οὐ προοφείλων, εὖ ἐποίησα, μηδὲ μίαν, μηδὲ τούς σε χάριν ἀπαιτεῖσθαι δυνάμενος. οὐ δὴ δεῖ τὴν εὐποιΐαν τὴν ἐμὴν ἀνάγκην ἐς τὸ λοιπόν μοι γενέσθαι, οὐδὲ τὸ ἑκόντα εὐεργετοῦσαν ἀφορμὴν τοῦ ἄκοντα κελεύεσθαι καταστῆναι, οὐδ' ἔθος ὑπάρξαι τοῦτο, τὸ ἅπαξ ἕνα ἰασάμενον πάντας ἐς ἀεὶ θεραπεύειν, ὁπόσους ἂν ὁ θεραπευθεὶς θέλῃ. ἐπεὶ δεσπότας ἂν οὕτω καθ' ἡμῶν εἴημεν τοὺς θεραπευομένους κεχειροτονηκότες, καὶ μισθὸν τοῦ δουλεύειν αὐτοῖς, καὶ τὸ πάντα κελεύουσιν ὑπηρετεῖν προσδεδωκότες. οὗ τί γένοιτ' ἂν ἀδικώτερον; διότι σε νοσήσαντα χαλεπῶς οὕτως ἀνέστησα, διὰ τοῦτο νομίζεις ἐξεῖναί σοι καταχρῆσθαί μου τῇ τέχνῃ; ταῦτα μὲν οὖν εἶχον ἂν λέγειν, εἰ καὶ δυνατά μοι ὄντα προσέταττεν, ἐγὼ δὲ μὴ πάντως ἅπασι, μηδὲ πρὸς ἀνάγκην ὑπήκουον. νῦν δὲ ἤδη σκέψασθε καὶ οἷα ἐστὶν αὐτοῦ τὰ ἐπιτάγματα. ἐπεὶ γάρ με ἰᾶσθαι φησὶ μεμηνότα, μέμηνε δὲ καὶ ἡ γυνὴ, καὶ τὰ ὅμοια πάσχει, τῷ δ' οἴεται, καὶ ὑπὸ τῶν ἄλλων ὁμοίως ἀπέγνωσται, δύνασαι δὲ σὺ πάντα ὡς ἔδειξας, ἰῶ καὶ ταύτην, καὶ ἀπάλλαττε ἤδη τῆς νόσου. τοῦτο δὲ, οὑτωσὶ μὲν ἁπλῶς ἀκοῦσαι, πάνυ εὔλογον ἂν δόξειε, καὶ μάλιστα ἰδιώτῃ, καὶ ἀπείρῳ ἰατρικῆς. εἰ δέ μου ἀκούσετε, ὑπὲρ τῆς τέχνης δικαιολογουμένου, μάθοιτ' ἂν ὡς οὔτε πάντα ἡμῖν δυνατά ἐστιν,

Y οὔθ' αἱ

neque conſimiles morborum naturas,nec eandem medendi rationem,nec eadem remedia in omnibus efficacia. Ac tum palàm fiet ,quantum interſit,nolis quippiam , an non poſſis. Vos interim patienter auſcultate me,hiſce de rebus philoſophantem: exiſtimantes nec inelegantem fore ,nec extra cauſam,nec alienam à re , nec intempeſtiuam de his diſputationem. Iam primum: Naturæ corporum,ac temperaturæ ,haud quaquam eædem ſunt:tametſi maxime in cõfeſſo eſt ,iiſdem ex elementis conſtare. Verum alia de his ,alia de illis magis aut minus participant:idq; loquor adhuc de corporibus uirorum:quæ neque ſimilia ſunt omnibus,neq; eadem temperatura,neque eadem conſtitutione. Vnde neceſſario conſequitur:ut morbi quoq; tum magnitudine,tum ſpecie differentes, his accidant:utq; alia ſanatu ſint facilia ,atque ad curationem ſponte propenſa:alia rurſum prorſus deſperata : ut quæ & facillime corripiantur,& grauiſſime à morbis prehendantur. Proinde ſi quis exiſtimet,quamlibet febrim ,aut quamuis tabem,aut peripneumoniam,aut inſaniam,quolibet in corpore unam atq; eandem eſſe genere,is non uideatur ponendus inter ſobrios,neq; doctos,neque inter eos , qui in rebus huiuſmodi exquirendis elaborarũt.Quin idem malum in hoc corpore facile ſanabitur,in hoc minime. Quemadmodum uidelicet triticum , ſi idem in diuerſos eiicias agros : aliter proueniet in plano ſolo,profundo,irriguo,aprico,uentis ſalubribus expoſito ,exculto: nimirum ubere ,læto , copioſóque fructu. Rurſum aliter in montuoſa ,petricoſáque terra ,aliter, in opaca,aliter in ſubiecta montibus. In ſumma : pro cuiuſque loci diuerſa natura ,uarie proueniet. Itidem & morbi ,pro ratione corporum , in quæ inciderint , aut maiores & uberiores ,aut minores eueniunt. Verum his omiſſis pater ,nec omnino diſcuſſa re, uult quamuis inſaniam in quouis corpore conſimilem eſſe ,ſimilemq; deſiderare curationem.

Super

οὐδ' αἱ τῶν νοσημάτων φύσεις παραπλήσιοι, οὔθ' ἡ ἴασις ἡ αὐτή, οὔτε τὰ φάρμακα τὰ αὐτὰ ἐπὶ πάντων ἰσχυρά. καὶ τότ' ἔσται δῆλον ὡς πάμπολυ τὸ μὴ βούλεσθαί τι, τοῦ μὴ δύνασθαι διαφέρει. ἀνάσχεσθε δέ μου τὰ περὶ τούτων φιλοσοφοῦντος, καὶ μὴ ἀπειρόκαλον, μὴ ἐξαγώνιον, μὴ ἀλλότριον, ἢ ἄκαιρον ἡγήσησθε τὸν περὶ τῶν τοιούτων λόγον. πρῶτα μὲν δὴ σωμάτων φύσεις καὶ κράσεις οὐχ αἱ αὐταί, κἂν ὅτι μάλιστα ἐκ τῶν ὁμοίων συνεστάναι ὁμολογῶνται, ἀλλὰ τὰ μὲν τῶνδε, τὰ δὲ τῶνδε μᾶλλον ἢ ἔλαττον μετέχει. καὶ λέγω τοῦτ' ἔτι περὶ τῶν ἀνδρείων, ὡς οὐδὲ ταῦτα πάντη ἴσα, ἢ ὅμοια, οὔτε τῇ κράσει, οὔτε τῇ συστάσει. διάφορα δὴ καὶ μεγέθει καὶ εἴδει ἀνάγκη, καὶ τὰ νοσήματα ἐγγίνεσθαι αὐτοῖς, καὶ τὰ μὲν εὐίατα εἶναι, καὶ πρὸς τὴν θεραπείαν ἀναπεπταμένα. τὰ δὲ τέλεον ἀπεγνωσμένα, καὶ ῥᾳδίως ἁλισκόμενα, καὶ κατακράτος ὑπὸ τῶν νοσημάτων λαμβανόμενα. τὸ τοίνυν οἴεσθαι πάντα πυρετὸν, ἢ πᾶσαν φθόην, ἢ περιπνευμονίαν, ἢ μανίαν, μίαν καὶ τὴν αὐτὴν οὖσαν τῷ γένει ὁμοίαν ἐπὶ παντὸς εἶναι σώματος, οὐ σωφρονούντων, οὐδὲ λελογισμένων, οὐδὲ τὰ τοιαῦτα ἐξητακότων ἐστὶν ἀνθρώπων, ἀλλὰ τὸ αὐτὸ ἐν μὲν τῷδε ῥᾳδίως ἰᾶσθαι, ἐν δὲ τῷδε οὐκ ἔτι, ὥσπερ οἶμαι καὶ πυρὸν ἢν τὸν αὐτὸν εἰς διαφόρους χώρας ἐμβάλῃς, ἄλλως μὲν ἐν τῇ πεδινῇ καὶ βαθείᾳ, καὶ πιαζομένῃ, καὶ εὐηλίῳ, καὶ εὐηνέμῳ καὶ ἐξειργασμένῃ ἀναφύεται, εὐθαλὴς οἶμαι καὶ εὔτροφος καὶ πολύχους καρπῷ, ἄλλως δὲ ἐν ὄρει καὶ ὑπολίθῳ γηδίῳ. ἄλλως δ' ἐν δυσηλίῳ, ἄλλως δὲ ἐν ὑπωρείᾳ, καὶ ὅλως διαφόρως καθ' ἑκάστους τόπους. οὕτω δὲ καὶ τὰ νοσήματα, παρὰ τοὺς ὑποδεξαμένους τόπους, ἢ εὔφορα, ἢ εὔζοφα, ἢ ἐλάττω γίγνεται. τὸ τοίνυν ὑπερβὰς ὁ πατὴρ, καὶ ὅλον ἀνεξέταστον καταλιπὼν, ἀξιοῖ πᾶσαν μανίαν τὴν ἐν ἅπαντι σώματι, ὁμοίαν εἶναι καὶ τὴν θεραπείαν ἴσην.

Super hæc tam multa, muliebria corpora plurimum differre à uirorum corporibus, uel ad morbi corruptionem, uel ad ſanandi ſpem, aut deſperationem, facile fuerit cognoſcere. Si quidem uirorum corpora bene compacta ſunt, neruoſa: laboribus, agitationibus, uita ſub dio acta, exercitata. Contra fœminarum, flaccida, male compacta, in umbra alita: cãdida ob ſanguinis inopiam, caloriſq; penuriam, & humoris ſuperuacanei abundantiam. Quare facilius corripiuntur, quàm uirorũ: utpote morbis expoſita, nec ferentia curationem: præcipue uero ad inſaniam procliuiora. Nam cum multum habeant iracundiæ ac leuitatis, facileq; cõmoueantur: porrò corporis exiguæ ſint uires, facile in hoc malum prolabuntur. Proinde non conuenit, in utriſq; eandem à medicis ſanandi rationem requirere: Cum intelligatis, hæc ab illis longiſſimo diſtare interuallo iam ab ipſo protinus ortu diſcreta: tum tota uitæ ratione, tum actionibus omnibus, tũ ſtudijs atq; exercitijs uniuerſis. Quare cum dicis, Inſania laborat: adde hoc quoq;, laborat mulier. Neque confundas hic omnia ſub unam & eandem inſaniæ referens appellationem. Verum diſcretis ijs, quemadmodum & natura diſcreuit, quid in quoq; præſtari poſſit conſidera. Nam nos, quemadmodum initio dixiſſe memini, illud in primis ſpectamus, ægroti corporis naturam, ac temperaturam, & cuius qualitatis magis ſit particeps, calidius an frigidius, uigens an ætate deficiens, magnum an puſillum, craſſum an macilentum: reliquáque id genus omnia. Quæ ſi quis penitus expenderit, is demum erit idoneus cui fides habeatur, uel deſperanti, uel recipienti. Quandoquidem & inſaniæ innumerabilia ſunt genera, & cauſæ complures: nec uocabula quidem eadem. Neq; enim idem, deſipere ac delirare, rabire & inſanire. Verum hæc omnia nomina ſignificant magis aut minus obnoxium eſſe morbo. Porrò cauſæ aliæ ſunt uiris, aliæ fœminis.

Rurſum

πρὸς δὲ τούτοις τοσούτοις οὖσιν, ὅτι τὰ γυναικεῖα σώματα πάμπολυ τῶν ἀνδρείων διαφέρει πρός τε νόσου διαφθορὰν, καὶ πρὸς θεραπείας ἐλπίδα, ἢ ἀπόγνωσιν, ῥᾴδιον καταμαθεῖν. τὰ μὲν γὰρ τῶν ἀνδρῶν εὐπαγῆ καὶ εὔτονα, πόνοις καὶ κινήσεσι, καὶ ὑπαιθρίῳ διαίτῃ γεγυμνασμένα. τὰ δὲ ἔκλυτα καὶ ἀσυμπαγῆ ἐν σκιᾷ τετραφημένα, καὶ λευκὰ αἵματος ἐνδείᾳ, καὶ θερμοῦ ἀπορίᾳ, καὶ ὑγροῦ περιττοῦ ὑπερροίᾳ. εὐαλωτότερα τοίνυν τῶν ἀνδρείων, καὶ ταῖς νόσοις ἐκκείμενα, καὶ τὴν ἴασιν οὐ περιμένοντα, καὶ μάλιστα πρὸς μανίας εὐχερέστερα. ἅτε γὰρ πολὺ τὸ ὀργίλον καὶ κοῦφον, καὶ ὀξυκίνητον ἔχουσαι, ὀλίγην δὲ τὴν τοῦ σώματος αὐτῶν δύναμιν, ῥᾳδίως ἐς τὸ πάθος τοῦτο καταλισθαίνουσιν. οὐ δίκαιον τοίνυν παρὰ τῶν ἰατρῶν τὴν ὁμοίαν ἐπ' ἀμφοῖν θεραπείαν ἀπαιτεῖν, εἰδότας, ὡς πολὺ τὸ ἐν μέσῳ, βίῳ παντὶ καὶ πράξεσιν ὅλαις, καὶ πᾶσιν ἐπιτηδεύμασιν, εὐθὺς ἐξ ἀρχῆς κεχωρισμένων. ὅταν τοίνυν λέγῃς, ὅτι μέμηνε, προσθὲς, ὅτι καὶ γυνὴ οὖσα μέμηνε, καὶ μὴ σύγχει ταῦτα πάντα ὑπὸ τῆς μανίας ὑπάρχων ὀνόματι ἑνὶ, καὶ τῶν αὐτῶν δοκοῦντα. ἀλλὰ χωρίσας ὥσπερ ἐστὶν, καὶ ὃ ἐν τῇ φύσει δυνατὸν ἐφ' ἑκάστου σκόπει. καὶ γὰρ ἡμεῖς ὅπερ ἐν ἀρχῇ τῶν λόγων εἰπὼν μέμνημαι, τοῦτο πρῶτον ἐπισκοποῦμεν, φύσιν σώματος τοῦ νοσοῦντος, καὶ κρᾶσιν, καὶ τίνος πλείονος μετέχει, καὶ εἰ θερμότερον, ἢ ψυχρότερον, ἢ ἀκμάζον, ἢ παρηβηκὸς, καὶ μέγα, ἢ μικρὸν, καὶ πιμελὲς, ἢ ὀλιγόσαρκον, καὶ πάντα τὰ τοιαῦτα. καὶ ὅλως ἄν τις αὐτὰ προεξετάσῃ, πάνυ ἀξιόπιστος ἂν εἴη, ἀπογινώσκων τι ἢ ὑπισχνούμενος. ἐπεὶ καὶ τῆς μανίας αὐτῆς μυρία εἴδη ἐστὶ, καὶ παμπόλλους ἔχει τὰς αἰτίας, καὶ οὐδὲ τὰς προσηγορίας αὐτὰς ὁμοίας. οὐ γὰρ ταυτὸν παρανοεῖν, καὶ παραπαίειν, καὶ λυττᾶν καὶ μεμηνέναι. ἀλλὰ ταῦτα πάντα τοῦ μᾶλλον ἢ ἧττον ἔχεσθαι τῇ νόσῳ ὀνόματά ἐστιν. αἰτίαι τε τοῖς μὲν ἀνδράσιν ἄλλαι, ταῖς δὲ γυναιξὶν ἕτεραι.

Rurſum inter ipſos uiros,aliæ iuuenibus,aliæ ſenibus:puta iu uenibus immodica fermè repletio,ſenibus autem importuna calumnia,ira impotens,quæ ſæpenumero incidit aduerſus do meſticos. Hæc initio perturbant animum : deinde paulatim uergit in inſaniam. Porrò mulierum corpora & multæ res in feſtant,& facile in morbum adducũt. Præcipue uero ſi quem oderint uehementius,aut ſi inuideant inimico ,ſecundis rerũ ſucceſſibus utenti,aut ſi quid moleſtũ ſit,aut ſi cui ſuccenſeant. Hæc paulatim ſubgliſcentia ,multoq; alita tempore , tandem in inſaniam euadunt. Eiuſmodi rerum aliquid uxori quoque uſu uenit pater:& haud ſcio,an nuper aliquid illi ægritudinẽ aliquam attulerit. Nihil enim illa oderat,quanquam morbo ſa nè teneẽ,neq; his malis ullius medici cura poterit eripi. Quod ſi quis alius ſe facturum receperit,aut ſi quis eam liberarit:tum me oderis licet,uelut iniurium. Tametſi ne illud quidem uere bor dicere pater. Etiamſi non prorſus eſſet,ut eſt,deſperandũ: ſed adhuc aliqua ſalutis ſpes leuis oſtenderetur,nec ſic quidẽ facile manum admouerem:neq; ſtatim audere miniſtrare po tionem:uidelicet ueritus fortunam,ac multorum hominũ ob trectationem. Vides,ut oẽs arbitrantur,priuignos inuiſos eſſe nouercis omnibus,etiamſi probæ fuerint,easq; hãc ceu cõmu nem quandam mulierum inſaniam inſan. Quare facile ſu ſpicatus fuiſſet aliquis,ſi malum hoc ſecus eueniſſet ,neq; pro fuiſſent remedia,perfidam ac doloſam fuiſſe curationem. At que uxoris quidem res pater ad hunc ſeſe habent modum: id que loquor,quod prorſus exploratum habeo: nunquam me lius eſt habitura,etiamſi milies biberit pharmacum : eoq; non operæpretium conari:niſi me in hoc ſolum urges ut fruſtrer, idq; uis ut fœdam mihi famam accerſam. Patere,ut mihi eiuſ dem artis profeſſores inuideãt. Quod ſi me rurſum abdicaris ego quidem etiamſi ab omnibus deſerar ,tamen tibi nihil im precabor graue. Sed qd ſi,quod auertat deus,redeat morbus.

Solent

καὶ τῶν ἀνδρῶν αὐτῶν, τοῖς μὲν νέοις ἄλλαι, τοῖς δὲ γεγηρακόσι διάφοροι, διὸν νέοις μὲν, πλῆθος ὡς τὸ πολὺ, γέρουσι δὲ διαβολὴ ἄκαιρος, καὶ ὀργὴ ἄλογος πολλάκις κατ' οἰκείων ἐμπεσοῦσα, ὃ μὲν πρῶτον διετάραξεν, εἶτα κατ' ὀλίγον ἐς μανίαν περιέτρεψεν. γυναικῶν δὲ πολλὰ καθικνεῖται, καὶ ῥᾳδίως ἐς τὴν νόσον ἐπάγεται· μάλιστα δὲ μῖσος, κατά τινος πολὺ, ἢ φθόνος ἐπὶ ἐχθρῷ εὐτυχοῦντι, ἢ λύπη τις ἢ ὀργὴ κατ' ὀλίγον. ταῦτα ὑποτυφόμενα, καὶ μακρῷ χρόνῳ ἐντρεφόμενα μανίαν ἀποτελεῖ. τοιαῦτά σοι, ὦ πάτερ, καὶ ἡ γυνὴ πέπονθε, καὶ ἴσως τι λελύπηκεν αὐτὴν ἔναγχος. οὐδὲν δὲ ἐκείνη ἐμίσει, πλὴν ἔχεταί γε καὶ οὐκ ἂν ἐκ τῶν παρόντων ὑπ' ἰατροῦ θεραπευθῆναι δύναιτο, ὥς εἴ γε ἄλλος τις ὑπόσχοιτο, εἴ τις ἀπαλλάξειε μισοῦντα, ὡς ἀδικοῦντα ἐμέ, καὶ μὴν κἀκεῖνο, ὦ πάτερ, οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, ὅτι εἰ καὶ μὴ τελέως οὕτως ἀπέγνωσο, ἀλλά τις ἔτι σωτηρίας ἐλπὶς ὑπεφαίνετο, οὐκ ἂν οὐδὲ οὕτω ῥᾳδίως προσηψάμην, οὐδ' ἂν προχείρως φάρμακον ἐγχέαι ἐτόλμησα, δεδιὼς τὴν τύχην καὶ τὴν παρὰ τῶν πολλῶν δυσφημίαν. ὁρᾷς ὡς οἴονται πάντες εἶναί τι μῖσος πρὸς τοὺς προγόνους πάσαις μητρυιαῖς, κἂν ὦσι χρησταί, καί τινα κοινὴν μανίαν ταύτην γυναικείαν αὐτὰς μεμηνέναι; τάχα οὖν τις ὑπώπτευσεν, ἄλλως χωρησάντων τοῦ κακοῦ καὶ τῶν φαρμάκων οὐ δυνηθέντων, κακοήθη καὶ δολερὰν τὴν θεραπείαν γεγονέναι. καὶ τὰ μὲν τῆς γυναικός, ὦ πάτερ, οὕτως ἔχει, καὶ πάνυ σοι πεπειρακὼς λέγω, οὔποτε ῥᾷον ἕξει, κἂν μυριάκις πίῃ τοῦ φαρμάκου. διὰ τοῦτ' ἐπιχειρεῖν οὐκ ἄξιον, εἰ μὴ πρὸς μόνον τὸ ἀποτυχεῖν με κατεπείγεις, καὶ κακοδοξίας περιβαλεῖν θέλεις. ἔασον ὑπὸ τῶν ὁμοτέχνων φθονεῖσθαι. ἐὰν δέ με ἀποκηρύξῃς πάλιν, ἴσως μὲν καί τοι πάντων ἔρημος γενόμενος, οὐδὲν κατὰ σοῦ δεινὸν εὔξομαι. τί δ' ἂν ὅτ' ἂν μὴ γένοιτο, αὖθις ἡ νόσος ἐπανέλθοι.

φιλεῖ γ

ſolent iſtiuſmodi fermè mala irritata recurrere, quid erit mihi faciundum? Curabo, ut noſti, tum quoque: neq; unquam deſuturus ſum officio, quod liberis natura præſcripſit: neque generis, quoad in me fuerit obliuiſcar. Deinde ſi reſipueris, num credere debeo futurum, ut me denuo recipias? illud uide. Iam iſta quum facis, accerſis morbum, peſtemq; refricas: heri ac nudius tertius è tantis elapſus malis, contendis, uociferaris: quodq; grauiſſimum eſt, iraſceris: ad odium propenſus es: leges reuocas. Hei mihi pater, iſtiuſmodi fuerant ſuperioris inſaniæ tuæ prooemia.

ABDICATI FINIS, DESIDERIO ERASMO ROTERODAMO INTERPRETE.

ΛΟΥΚΙΑΝΟΥ ΑΠΟΚΗΡΥΤΤΟΜΕΝΟΣ.

Ἀλλὰ κ᾽ πῶς τὰ τοιαῦτα ἐρεθιζόμενα παλινδρομεῖν. τί με πρᾶξαι δεήσει; θεραπεύσω μὲν, εὖ ἴσθι καὶ τότε, καὶ ἤν ποτε λείψω τὴν τάξιν, ἣν τοὺς παῖδας ἔταξεν ἡ φύσις, οὐ δὲ τοῦ γένους τὸ ἐπ᾽ ἐμαυτῷ ἀπαλλήσομαι. εἶτ᾽ ἂν σωφρονήσῃς, αὖθις ἀναλαμβάνειν πώποτε πεισαί με δεῖ; ὁρᾷς ἤδη καὶ ταῦτα ποιῶν ἐπισπᾷ τὴν νόσον, καὶ ὑπομιμνήσκεις τὸ πάθος χθὲς, καὶ πρώην. ἐκ τηλικούτων κακῶν ἀνασφήλας διατείνῃ, καὶ βοᾷς, καὶ τὸ μέγιστον ὀργίζῃ, καὶ πρὸς μῖσος τρέπῃ, καὶ τοὺς νόμους ἀνακαλεῖς. οἴμοι πάτερ ταῦτ᾽ ἦν σοι καὶ τὰ πάλαι μανίας τὰ προοίμια.

ΛΟΥΚΙΑΝΟΥ ΤΗΣ ΤΟΥ ΑΠΟΚΗΡΥΤΤΟΜΕΝΟΥ ΜΕΛΕΤΗΣ ΤΕΛΟΣ.

LYSIAE ATHENIENSIS ORATIO DE HERATOSTHENIS ADVLTERI NECE DEFENSIO.

PLVRIMI certe facerem, uiri Atheniēſes ſi tales uos iudices meam in cauſam præbe-retis, quales ueſtram, ubi eiuſmodi ſitis affecti cōtumelia, ſuſciperetis. Nam probe ſcio, ſi ea in alios, qua in uos eſtis mente exti-teritis, ueſtrum neminem fore, qui minus perpetrata facinora grauiter ac moleſte fe-rat. Sed omnes potius, non ſatis eos dignis ſupplicijs plectendos cenſeatis, quicunqꝫ huiuſmodi flagitijs ſtudent: neqꝫ uos hæc duntaxat, ſed omnis utiqꝫ Græcia. De hoc enim ſolo cri-mine, tum in populari, tum in paucorum principatu, eadē pœna imbecilliores potentioresqꝫ mulctantur. Quo fit ut obſcuriores eadem cum clarioribus, ſortiantur. *Sic* itaqꝫ iudices hāc contumeliam mortales omnes grauiſſimam putant. Quam magna igitur animaduerſione illi plectendi ſunt, qui huiuſmodi facinora perpetrarint, idem uos omnes ſentire puto. Neqꝫ ueſtrum quenquam hebeti adeo negligentiqꝫ ingenio eſſe cē-ſeo, qui ignoſcendum illis arbitretur. Oportere autem exiſti-mo iudices, ut demōſtrem Heratoſthenem impuriſſimū ho-minem, adulterium mea in domo, meam in uxorem admiſiſſe illamqꝫ uitiaſſe, ac meos filios dedecore, & ipſam me contumelia affeciſſe. Enim uero nulla mihi ſecū alia inimicitiarū cauſa,

præter

ΛΥΣΙΟΥ ΤΟΥ

ῬΗΤΟΡΟΣ ὙΠῈΡ ΤΟΥ͂ ἘΡΑΤΟΣΘΕ΄ΝΟΥΣ ΦΟ΄ΝΟΥ ἈΠΟΛΟΓΙ΄Α.

Περὶ πολλοῦ ἂν ποιησαίμην, ὦ ἄνδρες, τὸ τοιούτους ὑμᾶς ἐμοὶ δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέσθαι, οἷοί περ ἂν ὑμῖν αὐτοῖς εἴητε τοιαῦτα πεπονθότες. εὖ γὰρ οἶδ' ὅτι εἰ τὴν αὐτὴν γνώμην περὶ τῶν ἄλλων ἔχοιτε, ἥνπερ περὶ ὑμῶν αὐτῶν, οὐκ ἂν εἴη ὅστις οὐκ ἐπὶ τοῖς γεγενημένοις ἀγανακτοίη. ἀλλὰ πάντες ἂν περὶ τῶν τὰ τοιαῦτα ἐπιτηδευόντων τὰς ζημίας μακρὰς ἡγεῖσθε. καὶ ταῦτα οὐκ ἂν εἴη μόνον παρ' ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ' ἐν ἁπάσῃ τῇ Ἑλλάδι. περὶ τούτου γὰρ μόνου τοῦ ἀδικήματος, καὶ ἐν δημοκρατίᾳ, καὶ ὀλιγαρχίᾳ, ἡ αὐτὴ τιμωρία τοῖς ἀσθενεστάτοις πρὸς τοὺς τὰ μέγιστα δυναμένους ἀποδέδοται, ὥς τε τὸν χείριστον τῶν αὐτῶν τυγχάνειν τῷ βελτίστῳ. οὕτως, ὦ ἄνδρες, ταύτην τὴν ὕβριν ἅπαντες ἄνθρωποι δεινοτάτην ἡγοῦνται. Περὶ μὲν οὖν τοῦ μεγέθους τῆς ζημίας, ἅπαντας ὑμᾶς νομίζω τὴν αὐτὴν διάνοιαν ἔχειν, καὶ οὐδένα οὕτως ὀλιγώρως διακεῖσθαι, ὅστις οἴεται δεῖν συγγνώμης τυγχάνειν, ἢ μικρᾶς ζημίας ἀξίους ἡγεῖται τοὺς τῶν τοιούτων ἔργων αἰτίους. ἡγοῦμαι δὲ, ὦ ἄνδρες, τοῦτό με δεῖν ἐπιδεῖξαι, ὡς ἐμοίχευεν Ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμὴν, καὶ ἐκείνην τε διέφθειρε, καὶ τοὺς παῖδας τοὺς ἐμοὺς ᾔσχυνε, καὶ ἐμὲ αὐτὸν ὕβρισεν εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. καὶ οὔτε ἔχθρα ἐμοὶ καὶ ἐκείνῳ οὐδεμία ἦν,

præter hanc,fuerat:neq; pecuniarum gratia ,quo è paupere di ues redderer:neq; ob aliud quod uis lucrum,niſi ut de eo ſupplicium legitimum ſumerem,à me hæc geſta ſunt.Ego itaque ab initio uobis omnem rem meam oſtendam,nihil prorſus omittam,ſed quæ uera ſunt eloquar.Nam hanc ſolam mihi ſalutem reor,ſi quiuero omnẽ rem uobis exponere. Ego enim uiri Athenienſes,poſtea quàm uiſum eſt mihi nubẽdum eſſe, ac in domum uxorem ducere, reliquum quidẽ tempus eum me præſtiti,quem nec ſibi illa triſtem haberet , neq; omnibus in rebus ,quas uellet ,moroſum, ſed ut par eſt,eius obſeruantem ac facilem. Sed ubi puerum ex ea ſuſcepiſſem ,credebam iam illi,atq; omnia mea tradidi. Exiſtimabam enim hanc neceſſitudinem eſſe maximam.Priore itaq; tempore,uiri Athenienſes,erat una omnium optima mulier.Nam & rem domeſticã probe gubernabat,& perſimonia pulchre utebatur ,& p belle omnia gerebat. Cum uero mater mihi diẽ obijſſet,cunctorum mihi malorum cauſa moriens extitit.Cum enim efferretur funus,mea ſecuta eſt uxor: ab hoc nefario & perditiſſimo homine,qui eam eſſet conſpicatus tandẽ uiciatur. Is nãq; ancillam,quæ forum peteret,obſeruans,eiuſq; utens internũcio,eam perdidit.Primum itaq; iudices,nam & hæc uobis narrem neceſſe eſt,ædiculæ duplæ ſunt mihi,quæ ſuperius inferiusq; eundem habeãt habitandi ordinem: & circa mulierũ ,& circa uirorum ſedes. Cum autem puer nobis natus eſſet cum lactabat mater.Quare,ne cum lauari oporteret,periculi quippiam ſcalis deſcendens ea pateretur: ego quidem ſuperiora, mulieres uero inferiora habitabant. Itaque conſuetum iam erat , ut frequenter uxor inferius ad infantem abeſſet cubatura: quo & ubera ſibi porrigeret ,& ne uagiret obſeruatura. Et hæc nonnihil temporis hoc pacto ſe habuere. Ego autem nihil ſum unquam mali ſuſpicatus. Sed uſque adeo lapideum me præſtabam ,ut omnium huiuſce urbis fœminarum pudiciſſimam meam uxorem exiſtimarem.

Progreſſu

πλὴν ταύτης, οὔτε χρημάτων ἕνεκα ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος γένωμαι, οὔτε ἄλλου κέρδους οὐδενός, πλὴν τῆς κατὰ τοὺς νόμους τιμωρίας. ἐγὼ τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω τὰ ἐμαυτοῦ πράγματα, οὐδὲν παραλείπων, ἀλλὰ λέγων τἀληθῆ. ταύτην γὰρ ἐμαυτῷ μόνην ἡγοῦμαι σωτηρίαν, ἐὰν ὑμῖν εἰπεῖν δυνηθῶ ἅπαντα τὰ πεπραγμένα. ἐγὼ γάρ, ὦ ἄνδρες, ἐπειδὴ ἔδοξέ μοι γῆμαι, καὶ γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν, τὸν μὲν ἄλλον χρόνον οὕτω διεκείμην, ὥστε μήτε λυπεῖν, μήτε λίαν ἐπ᾽ ἐκείνῃ εἶναι, ὅ τι ἂν θέλῃ ποιεῖν. ἐφύλαττόν τε ὡς οἷόν τε ἦν, καὶ προσεῖχον τὸν νοῦν ὡς τὸ εἰκὸς ἦν. ἐπειδὴ δέ μοι παιδίον γίνεται, ἐπίστευον ἤδη, καὶ πάντα τὰ ἐμαυτοῦ ἐκείνῃ παρέδωκα, ἡγούμενος ταύτην οἰκειότητα μεγίστην εἶναι. ἐν μὲν οὖν τῷ πρώτῳ χρόνῳ, ὦ Ἀθηναῖοι, πασῶν ἦν βελτίστη. καὶ γὰρ οἰκονόμος δεινή, καὶ φειδωλὸς ἀγαθή, καὶ ἀκριβῶς πάντα διοικοῦσα. ἐπειδὴ δέ μοι ἡ μήτηρ ἐτελεύτησε, πάντων τῶν κακῶν ἀποθανοῦσα, αἰτία μοι γεγένηται. ἐπ᾽ ἐκφορὰν αὐτῇ ἀκολουθήσασα ἡ ἐμὴ γυνή, ὑπὸ τούτου τοῦ ἀνθρώπου ὀφθεῖσα, χρόνῳ διαφθείρεται. ἐπιτηρῶν γὰρ τὴν θεράπαιναν τὴν εἰς τὴν ἀγορὰν βαδίζουσαν, καὶ λόγους προσφέρων ἀπώλεσεν αὐτήν. πρῶτον μὲν οὖν, ὦ ἄνδρες, δεῖ γὰρ καὶ ταῦθ᾽ ὑμῖν διηγήσασθαι, οἰκίδιόν ἐστι μοι διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω, κατὰ τὴν γυναικωνῖτιν καὶ κατὰ τὴν ἀνδρωνῖτιν. ἐπειδὴ δὲ τὸ παιδίον ἐγένετο ἡμῖν, ἡ μήτηρ αὐτὸ ἐθήλαζεν. ἵνα δὲ μή, ὁπότε λοῦσθαι δέοι, κινδυνεύῃ κατὰ τῆς κλίμακος καταβαίνουσα, ἐγὼ μὲν ἄνω διῃτώμην, αἱ δὲ γυναῖκες κάτω. καὶ οὕτως ἤδη συνειθισμένον ἦν, ὥστε πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευδήσουσα ὡς τὸ παιδίον, ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ, καὶ μὴ βοᾷ. καὶ ταῦτα πολὺν χρόνον οὕτως ἐγίνετο, καὶ ἐγὼ οὐδέποτε ὑπώπτευσα. ἀλλ᾽ οὕτως ἠλιθίως διεκείμην, ὥστε ᾤμην τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην εἶναι τῶν ἐν τῇ πόλει

Progreſſu uero temporis, cum inſperato ex agro ueniſſem, ac poſteaquam cœnati ſumus, filiolus uagiret, turbareturq; ue hementer, quippe quem ancilla ſummopere triſtem afficeret, ut hæc nauaret, homo enim ille intus erat. cuncta nanque po/ ſtremo didici. Cumq; uxorem ipſe ad lactandum puellum, quo uagitu ceſſaret, iuberem ire, ea quidem primo refragaba/ tur, perinde atq; libenter me ex agro, poſt temporis curricu/ lum redeuntem intueretur. Vbi uero iam ſtomacharer, abire/ q; ſe iuberem, eo inquit, iſtuc agis, quo pediſſequam ipſe ten/ tes, & prius quoq; madidus eam attrectaſti. Ego autem ride/ bam. Illa uero aſſurgens, abiensq;, portam, quaſi per ludum, claudit, atq; educit clauem. Et ego nihil horum, neq; animad/ uertens, neq; conſiderans, obdormiui quàm dulciſſime: utpo/ te qui ex agro laſſus reuertiſſem. Verum cum iam dies appro pinquaſſet, uenit illa, oſtiumque aperuit. Me autem rogante, quid noctu fores cõcrepuerint, ait ſe lucernam, quæ apud in/ fantem eſſet, extinctam, ex uicinis accendiſſe. Obticui, & eam uera loqui arbitrabar. Verum uiſa eſt mihi iudices, eius facies depicta ceruſa: cum nondum tamẽ frater triginta dies ex hac luce migraſſet. Sed neque ſic tamen de re quicquam locutus ſum, quin egrediens taciturnus exibam foras. Poſtea uero iu/ dices & tempore interim labente, & me uehementer ob ma/ la præſentia conſumpto, adit me anus quædam, quam mulier clam miſerat, cuius adulter ille, ueluti mihi poſtea renuncia/ tum eſt, cõmercio uteretur. Ea nanq; iracundia percita & iniu ria ſeſe affici rata, quoniam non æque ac prius ad ſe is accede/ ret, obſeruauit quo ad rei cauſam edidicit. Cum ergo anus il/ la, quæ prope domum obſeruarat, me adijſſet: ſalue amice, in/ quit, ne ulla curioſitate me adijſſe te putes uelim. Nam uir il/ le, qui te tuamque uxorem affecit contumelia, inimicus eſt no bis. Si igitur ancillam, quæ forum petit, uobiſque miniſtrat ce peris, cruciatibuſque admoueris: omnia profecto cognoſces.

Patrator

προϊόντος δὲ τοῦ χρόνου, ὦ ἄνδρες, ἧκον μὲν ἀπροσδοκήτως ἐξ ἀγροῦ, μετὰ δὲ τὸ δεῖπνον, τὸ παιδίον ἐβόα, καὶ ἐδυσκόλαινεν ὑπὸ τῆς θεραπαίνης ἐπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ. ὁ γὰρ ἄνθρωπος ἔνδον ἦν. ὕστερον γὰρ ἅπαντα ἐπυθόμην. ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον, καὶ δοῦναι τῷ παιδὶ τὸν τιτθὸν, ἵνα παύσηται κλαῖον. ἡ δὲ, τὸ μὲν πρῶτον οὐκ ἤθελεν, ὡς ἂν ἀσμένη με ἑωρακυῖα, ἥκοντα διὰ χρόνου. ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην καὶ ἐκέλευον αὐτὴν ἀπιέναι, ἵνα σύ γε ἔφη πειρᾷς ἐνταυθα τὴν παιδίσκην, καὶ πρότερον δὲ μεθύων εἷλκες αὐτὴν, κἀγὼ μὲν ἐγέλων. ἐκείνη δὲ ἀναστᾶσα καὶ ἀπιοῦσα προστίθησι τὴν θύραν προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν ἐφέλκεται. κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος, οὐδ᾽ ὑπονοῶν, ἐκάθευδον ἄσμενος ἥκων ἐξ ἀγροῦ. ἐπειδὴ δὲ ἦν πρὸς ἡμέραν, ἧκεν ἐκείνη, καὶ τὴν θύραν ἀνέῳξεν. ἐρομένου δέ μου, τί αἱ θύραι νύκτωρ ψοφοῖεν, ἔφασκε τὸν λύχνον ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτόνων ἀνάψασθαι. ἐσιώπων ἐγὼ, καὶ ταῦτα οὕτως ἔχειν ἡγούμην. ἔδοξε δέ μοι, ὦ ἄνδρες, τὸ πρόσωπον ἐψιμμυθιῶσθαι, τοῦ ἀδελφοῦ τεθνεῶτος οὔπω τριάκονθ᾽ ἡμέρας. ὅμως δ᾽ οὐδ᾽ οὕτως οὐδὲν εἰπὼν περὶ τοῦ πράγματος, ἐξελθὼν ᾠχόμην ἔξω σιωπῇ. μετὰ δὲ ταῦτα, ὦ ἄνδρες, χρόνου μεταξὺ διαγενομένου, καὶ ἐμοῦ πολὺ ἀπολελειμμένου τῶν ἐμαυτοῦ κακῶν, προσέρχεταί μοι τις πρεσβῦτις ἄνθρωπος ὑπὸ γυναικὸς ὑποπεμφθεῖσα ἣν ἐκεῖνος ἐμοίχευεν ὡς ἐγὼ ὕστερον ἤκουον. αὕτη δὲ ὀργιζομένη καὶ ἀδικεῖσθαι νομίζουσα, ὅτι οὐκ ἔτι ὁμοίως ἐφοίτα παρ᾽ αὐτὴν, ἐφύλαττεν, ἕως ἐξηῦρεν ὅτι εἴη τὸ αἴτιον. προσελθοῦσα οὖν μοι ἐγγὺς ἡ ἄνθρωπος τῆς οἰκίας τῆς ἐμῆς ἐπιτηροῦσα, εὐφίλητε ἔφη μὴ δὲ μιᾷ πολυπραγμοσύνῃ προσεληλυθέναι με νόμιζε πρὸς σέ. ὁ γὰρ ἀνὴρ ὁ ὑβρίζων εἰς σὲ καὶ τὴν γυναῖκα, ἐχθρὸς ὢν ἡμῖν τυγχάνει. ἐὰν οὖν λάβῃς τὴν θεράπαιναν τὴν εἰς ἀγορὰν βαδίζουσαν, καὶ διακονοῦσαν ὑμῖν, καὶ βασανίσῃς, ἅπαντα πεύσῃ.

ἔστι δ᾽ ἔφη

Patrator autem harum rerum Heratoſthenes Oethenſis eſt, qui non tuam uxorem ſolum,ſed etiam alias permultas uiciauit.Hanc enim is artem habet.Quæ cum illa dixiſſet,iudices, abijt.Ego uero turbatus ſum illico ,& omnia mente uolutabam,eramq́ ſuſpitione quã refertiſſimus. Recordabar ,ut domi occluſus fuerim:reminiſcebar,ut illa noctu ,& quod intus aulæ,extra aulam eſſet hoſtium,concrepuiſſet: id quod antea nũquam accidit,utq́ uxoris mihi gipſea facies uiſa eſſet.Hæc mihi omnia mentem agitabant,eramq́ plenus ſuſpitione.Cũ uero ueniſſem domum,iuſſi ancillæ in forum me ſequeretur. Quam poſteaq́ ad familiarem quendam duxiſſem, dixi me quæcunq́ domi geſta eſſent accepiſſe. Proinde licet quidem tibi,inquam,è duobus utrum mauis eligere,aut uerberibus cæſam in piſtrinum dedi:eo pacto ut nunquam ab ea te ſim miſeria exempturus,aut ſi ueritatẽ dixeris mali paſſuram nihil, ſed erratorum potius à me ueniam adepturam.Mentita autem nihil,eloquere omnia quàm ueriſſime.Et illa quidem inſicias ibat primo,& quicquid collibuiſſet ut efficerem ,iubebat, ſcire & enim aiebat nihil. Sed poſteaquam in Heratoſthenis mentionem incidiſſem,dixiſſemq́ hunc eſſe qui ad uxorem proficiſceretur,expauit illa,quippe quæ me omnia planè didiciſſe exiſtimaſſet.Quare tunc ad mea procidens genua ,impunitatisq́ fidem à me capiens enarrauit: primũ quidem ut poſt elatum funus Heratoſthenes ſe adierit:deinde ut operã ipſam nauans eum uxori expoſuerit,utq́ illa & tempus & aditus,accedendiq́ modum conſtituerit:& ut denique ad Theſmophoria,quæ Cereris feſta ſunt,cum ipſe rus iſſem , petierit templum cum Heratoſthenis matre:ac reliqua quæq́ accuratiſſime narrauit.Cum uero omnia declaraſſet ,dixi ,ne quis omnium hæc ſentiat,caueret.Quod ſi minus,inquam ,effeceris,nihil tibi eorum quæ mihi confeſſa es,firmum & ratũ erit. Te uero etiam atque etiam & hortor & rogo ,ut hæc mihi in præſenti facinore oſtendas. Non enim mihi uerbis eſt opus;

ſed rem

ἔστι δ' ἔφη Ἐρατοσθένης οἴηθεν ὁ ταῦτα πράττων, ὃς οὐ μόνον τὴν σὴν γυναῖκα διέφθαρκεν, ἀλλὰ καὶ ἄλλας πολλάς. ταύτην γὰρ τὴν τέχνην ἔχει. ταῦτα εἰποῦσα, ἄνδρες, ἐκείνη μὲν ἀπηλλάγη, ἐγὼ δὲ εὐθέως ἐταραττόμην, καὶ πάντα μου εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας, ἐνθυμούμενος μὲν ὡς ἀπεκλείσθην ἐν τῷ δωματίῳ, ἀναμιμνησκόμενος δὲ ὅτι ἐν ἐκείνῃ τῇ νυκτὶ ἐψόφει ὁ μέταυλος θύρα καὶ ἡ αὔλιος, ὃ οὐδέποτε ἐγένετο. ἔδοξέ τέ μοι ἡ γυνὴ ἐψιμμυθιῶσθαι. ταῦτα μου πάντα εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας. ἐλθὼν δὲ οἴκαδε ἐκέλευον ἀκολουθεῖν μοι τὴν θεράπαιναν εἰς τὴν ἀγοράν, ἀγαγὼν δ' αὐτὴν ὡς τῶν ἐπιτηδείων τινά, ἔλεγον ὅτι ἐγὼ πάντα εἴην πεπυσμένος τὰ γινόμενα ἐν τῇ οἰκίᾳ. σοὶ οὖν ἔφην ἔξεστι δυοῖν ὁπότερον βούλει ἑλέσθαι, ἢ μαστιγωθεῖσαν εἰς μύλωνα ἐμπεσεῖν, καὶ μηδέποτε παύσασθαι κακοῖς τοιούτοις συνεχομένην, ἢ κατειποῦσαν ἅπαντα τἀληθῆ, μηδὲν παθεῖν κακόν, ἀλλὰ συγγνώμης παρ' ἐμοῦ τυχεῖν τῶν ἡμαρτημένων. ψεύσῃ δὲ μηδέν, ἀλλὰ πάντα τἀληθῆ λέγε. κἀκείνη τὸ μὲν πρῶτον ἔξαρνος ἦν, καὶ ποιεῖν ἐκέλευεν ὅ, τι βούλομαι, οὐδὲν γὰρ εἰδέναι. ἐπειδὴ δὲ ἐγὼ ἐμνήσθην Ἐρατοσθένους πρὸς αὐτήν, καὶ εἶπον ὅτι οὗτος ὁ φοιτῶν εἴη πρὸς τὴν γυναῖκα, ἐξεπλάγη, ἡγησαμένη με πάντα ἀκριβῶς ἐγνωκέναι. καὶ τότε ἤδη πρὸς τὰ γόνατά μου πεσοῦσα, καὶ πίστιν παρ' ἐμοῦ λαβοῦσα μηδὲν πείσεσθαι κακόν, κατηγόρει πρῶτον μὲν ὡς μετὰ τὴν ἐκφορὰν αὐτῇ προσίοι, ἔπειτα ὡς αὐτή τελευτῶσα εἰσαγγείλειε, καὶ ὡς ἐκείνη τῷ χρόνῳ πεισθείη, καὶ τὰς εἰσόδους οἷς τρόποις προσίοι, καὶ ὡς θεσμοφορίοις ἐμοῦ ἐν ἀγρῷ ὄντος ᾤχετο εἰς τὸ ἱερὸν μετὰ τῆς μητρὸς τῆς ἐκείνου, καὶ τἆλλα τὰ γενόμενα πάντα, ἀκριβῶς διηγήσατο. ἐπειδὴ δὲ πάντα εἴρητο αὐτῇ, εἶπον ἐγώ, ὅπως τοίνυν ταῦτα μηδεὶς ἀνθρώπων πεύσεται. εἰ δὲ μή, οὐδέν σοι κύριον ἔσται τῶν πρὸς ἐμὲ ὡμολογημένων. ἀξιῶ δέ σε ἐπ' αὐτοφώρῳ ταῦτά μοι ἐπιδεῖξαι. ἐγὼ γὰρ οὐδὲν δέομαι λόγων

ſed rem ipſam manifeſto uelim deprehendere, an ita ſe habe/at. Quæ quidem omnia ſe facturam affirmauit. Poſtea uero dies quatuor aut quinq; ,ueluti certiſſimis uobis coniecturis demonſtrabo, præterirere. Primum autẽ narraturus ſum quæ die ultimo acta fuerint. Soſtratus mihi ,& neceſſarius & ami/cus erat: huic poſt ſolis occaſum, ex agro redeunti obuiam fa/ctus, cum ſcirem eum ita uenientem nihil domi rerum neceſ/ſariarum reliquiſſe, iuſſi apud me cœnaret. Petentes autem meam domum, ac ſuperius cœnaculum aſcendẽtes ,cœnaba/mus. Vbi uero pulchre ſe habuiſſet ille ,domum ire petrexit, ipſe autem cubui. Heratoſthenes tunc ,iudices ,ingreditur, & me ancilla continuo expergefacit ,ſignificat hominem intus eſſe. Cui cum iuſſiſſem hoſtium obſeruaret ,ſilentio ,ſcalis de/ſcendens domo egredior, hunc & illum peto. Et alios quidem domi offendo, alij uero aberant. E quibus quàm plures potui mecum aſſumens ibam. Accipientesq; faces ex proxima taber na foribus patefactis, obſeruatisq; ab ãcilla, ædes ingredimur. Impellentes autem cubiculi hoſtium ,nos quidem qui primi intraremus eum uxori meæ accubantem uidimus, hi uero po ſtea in cubiculo nudum ſtantem, ego, iudices, illum ,premens, atq; urgens humi deicio, & circumactis retro manibus atque deuictis, ex eo percontabar: quid meam ingreſſus domum, cõ tumelia me afficeret. Et ille iniuriam quidem fatebatur, orabat autem deprecabaturq;, ne ſe occiderem, ſed argentum merce dem ſumerem. Ego autem ,inquam ,non à me ipſe ,ſed à pu/blica lege, quoniam prætergreſſus es, intcrimeris. Illam nanq; longe minorem q̃ uoluptates duxiſti: maluiſtiq; huiuſmodi erratum aduerſus meam uxorẽ ,& in meos filios delinquere, q̃ legibus decoriq; parcere. Sic ,inquã, iudices, ille admiſſi ſcele ris culpã ſortit⁹ eſt, quẽadmodũ eos leges puniẽdos iubẽt, q ta lia deliq̃rint: neq; è uia rapt⁹ eſt, neq; in larẽ pfugit, ut hi narrãt.

Quo

ἀλλὰ τὸ ἔργον φανερὸν γενέσθαι, εἰ πρὸς οὕτως ἔχει, ὡμολόγει ταῦτα ποιήσειν, καὶ μετὰ ταῦτα διεγένοντο ἡμέραι τέσσαρες ἢ πέντε, ὡς ἐγὼ μεγάλοις ὑμῖν τεκμηρίοις ἐπιδείξω. πρῶτον δὲ διηγήσασθαι βούλομαι τὰ πραχθέντα τῇ τελευταίᾳ ἡμέρᾳ. σώστρατος ἦν μοι ἐπιτήδειος καὶ φίλος. τούτῳ ἡλίου δεδυκότος ἰόντι ἐξ ἀγροῦ ἀπήντησα. εἰδὼς δ᾽ ἐγὼ ὅτι τηνικαῦτα ἀφιγμένος, οὐδένα ἂν καταλήψοιτο οἴκοι τῶν ἐπιτηδείων, ἐκέλευον συνδειπνεῖν, καὶ ἐλθόντες οἴκαδε ὡς ἐμὲ, ἀναβάντες εἰς τὸ ὑπερῷον ἐδειπνοῦμεν. ἐπειδὴ δὲ καλῶς αὐτῷ εἶχεν, ἐκεῖνος μὲν ἀπιὼν ᾤχετο, ἐγὼ δὲ ἐκάθευδον, ὁ δ᾽ ἐρατοσθένης, ὦ ἄνδρες, εἰσέρχεται, καὶ ἡ θεράπαινα ἐπεγείρασά με εὐθὺς, φράζει ὅτι ἔνδον ἐστίν. κἀγὼ εἰπὼν ἐκείνῃ ἐπιμελεῖσθαι τὰς θύρας, καταβὰς σιωπῇ ἐξέρχομαι, καὶ ἀφικνοῦμαι εἰς τὸν, καὶ τὸν, καὶ τοὺς μὲν ἔνδον κατέλαβον, τοὺς δὲ οὐκ ἐπιδημοῦντας εὗρον, παραλαβὼν δ᾽ ὡς οἷόν τε ἦν πλείστους ἐκ τῶν παρόντων ἐβάδιζον, καὶ δᾷδας λαβόντες ἐκ τοῦ ἐγγυτάτου καπηλείου, εἰσερχόμεθα, ἀνεῳγμένης τῆς θύρας καὶ ὑπὸ τῆς ἀνθρώπου παρεσκευασμένης. ὤσαντες δὲ τὴν θύραν τοῦ δωματίου, οἱ μὲν πρῶτον εἰσιόντες ἔτι ἴδομεν αὐτὸν κατακείμενον παρὰ τῇ γυναικὶ, οἱ δ᾽ ὕστερον ἐν τῇ κλίνῃ γυμνὸν ἑστηκότα. ἐγὼ δ᾽, ὦ ἄνδρες, πατάξας καταβάλλω αὐτὸν, καὶ τὼ χεῖρε περιαγαγὼν εἰς τοὔπισθεν, καὶ δήσας ἠρώτων, διὰ τί ὑβρίζει εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. κἀκεῖνος ἀδικεῖν μὲν ὡμολόγει, ἠντεβόλει δὲ καὶ ἱκέτευε μὴ αὐτὸν κτεῖναι, ἀλλ᾽ ἀργύριον πράξασθαι. ἐγὼ δ᾽ εἶπον ὅτι οὐκ ἐγώ σε ἀποκτενῶ, ἀλλ᾽ ὁ τῆς πόλεως νόμος, ὃν σὺ παραβαίνων, περὶ ἐλάττονος τῶν ἡδονῶν ἐποιήσω, καὶ μᾶλλον εἵλου τοιοῦτον ἁμάρτημα ἐξαμαρτάνειν εἰς τὴν γυναῖκα τὴν ἐμὴν, καὶ εἰς τοὺς παῖδας τοὺς ἐμοὺς, ἢ τοῖς νόμοις πείθεσθαι, καὶ κόσμιος εἶναι. οὕτως, ὦ ἄνδρες, ἐκεῖνος τούτων ἔτυχεν ὧν περ οἱ νόμοι κελεύουσι τοὺς τὰ τοιαῦτα πράττοντας, οὐκ εἰσαρπασθεὶς ἐκ τῆς ὁδοῦ, οὐδ᾽ ἐπὶ τὴν ἑστίαν καταφυγὼν, ὥσπερ οὗτοι λέγουσι.

Quo enim pacto eò perfugere potuiſſet, qui in cubiculo caſus continuo concidiſſet? Circumuerti autem eius manus. Intus erãt tot homines, quos effugere haud poterat: utpote qui neq; ferrum, neq; lignum, neq; aliud haberet quicquam, quo ingruentibus repugnaret. Verum puto, & uos uiri Athenienſes nequaquam ignorare, ut iniuſti homines, minime fatētur, quod ueritatem ſapiat, inimicos loqui, ſed hi obnoxij mendacio, ac talia quædam machinantes, auditores aduerſus iuſtos in irã trahunt. Primũ itaq; legẽ recita. LEX Nõ in ambiguo Heratoſthenes fuit, uiri Athenienſes, ſed iniuriam intuliſſe cõfeſſus eſt, & ne interimeretur orauit, ac ſupplex deprecatus eſt pecuniasq; ſoluere uoluit: ego autem eius crimini dandam ueniam haud cenſui, ſed ciuitatis legem reddidi firmiorem, & hanc de impuriſſimo homine pœnam ſumpſi, quam uos ipſi iuſtiſſimam eſſe rati, his qui huiuſmodi egerunt facinora planè ſanxiſtis. Mihi autem harum rerum teſtes adſunt.

TESTES. Recita mihi hanc quoq; legem, ex tabula, quæ in Ariopagi columna inciſa eſt. Auditis uiri Athenienſes, ut ipſo ex Ariopagi iudicio, cui & patrium eſt, & à uobis permiſſum, homicidij cauſas iudicare, manifeſte dicitur: non eſſe hũc homicidij puniendum quicunq; apud ſuam uxorem adulterum deprehendens, hoc in eum ſupplicio animaduerterit. Quin uehementer adeo legum lator, in nuptis mulieribus iuſta hæc eſſe putauit, ut etiam circa humillimas pellices eandem pœnam conſtituerit. Et enim luce eſt clarius, ſi quod grauius ſupplicium circa nuptas mulieres habuiſſet, inſtituiſſet id quidem. Sed cum atrociorem in illis mulctam excogitare nequiuiſſet, eadem etiam circa pellices eſſe dignum exiſtimauit. Recita autem mihi hanc legem. LEX. Auditis ne iudices, ut lex iubet, ſi quis hominem liberum aut puerum, dedecore uiolenter affecerit, duplo plectatur.

Sin autem

πῶς γὰρ ἂν ὅς γε ἐν τῷ δωματίῳ πρὸς γῆς κατέπεσεν εὐθὺς, περιέστρεψα δ' αὐτοῦ τὼ χεῖρε. ἔνδον δὲ ἦσαν ἄνθρωποι τοσοῦτοι, οὓς διαφυγεῖν οὐκ ἠδύνατο, οὔτε σίδηρον, οὔτε ξύλον, οὔτε ἄλλο οὐδὲν ἔχων, ᾧ τοὺς εἰσελθόντας ἂν ἠμύνατο. ἀλλ', ὦ ἄνδρες, οἶμαι καὶ ὑμᾶς εἰδέναι ὅτι οἱ μὴ τὰ δίκαια πράττοντες, οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν τἀληθῆ, ἀλλ' αὐτοὶ ψευδόμενοι, καὶ τὰ τοιαῦτα μηχανώμενοι, ὀργὰς τοῖς ἀκούουσι κατὰ τῶν τὰ δίκαια πραττόντων παρασκευάζουσι. πρῶτον μὲν οὖν ἀνάγνωθι τὸν νόμον. Νόμος. Οὐκ ἠμφισβήτει, ὦ ἄνδρες, ἀλλ' ὡμολόγει ἀδικεῖν, καὶ ὅπως μὲν μὴ ἀποθάνῃ, ἠντιβόλει καὶ ἱκέτευεν, ἀποτίνειν δ' ἕτοιμος ἦν χρήματα. ἐγὼ δὲ τῷ μὲν ἐκείνου τιμήματι οὐ συνεχώρουν, τὸν δὲ τῆς πόλεως νόμον ἠξίουν εἶναι κυριώτερον, καὶ ταύτην ἔλαβον τὴν δίκην, ἣν ὑμεῖς δικαιοτάτην εἶναι ἡγησάμενοι, τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐτάξατε, καὶ μὴ ἀνάβητε τούτων μάρτυρες.

Μαρτυρία. Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου πάγου. Ἀκούετε, ὦ ἄνδρες, ὅτι αὐτῷ τῷ δικαστηρίῳ τῷ ἐξ Ἀρείου πάγου, ᾧ καὶ πάτριόν ἐστι καὶ ἐφ' ὑμῶν ἀποδέδοται τοῦ φόνου τὰς δίκας δικάζειν, διαρρήδην εἴρηται τούτου μὴ καταγινώσκειν φόνου, ὃς ἂν ἐπὶ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν λαβὼν ταύτην τὴν τιμωρίαν ποιήσηται. καὶ οὕτω σφόδρα ὁ νομοθέτης ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ δίκαια ταῦτα ἡγήσατο εἶναι, ὥστε καὶ ἐπὶ ταῖς παλλακαῖς ταῖς ἐλάττονος ἀξίαις τὴν αὐτὴν δίκην ἐπέθηκε. καίτοι δῆλον ὅτι εἴ τινα εἶχε ταύτης μείζω τιμωρίαν ἐπὶ ταῖς γαμεταῖς, ἐποίησεν ἄν. νῦν δὲ οὐχ οἷός τε ὢν ταύτης ἰσχυροτέραν ἐπ' ἐκείναις ἐξευρεῖν, τὴν αὐτὴν καὶ ἐπὶ ταῖς παλλακαῖς ἠξίωσε γίνεσθαι. ἀνάγνωθι δέ μοι τοῦτον τὸν νόμον.

Νόμος. Ἀκούετε ἄνδρες, ὅτι κελεύει, ἐάν τις ἄνθρωπον ἐλεύθερον, ἢ παῖδα αἰσχύνῃ βίᾳ, διπλῆν τὴν βλάβην ὀφείλειν.

Sin autem mulierem hiſce in rebus quibus morte mulctatur, ijſdem ſupplicijs obnoxius ſit. At qui ſic iudices, ut uidetis minore eos mulcta qui uim cuiquam intuliſſent, quàm qui ſuadendo ſuam in ſententiam tradidiſſent, legum lator plectendos uoluit. Nam illos morte, hoſce uero duplo afficiũdos ſupplicio cenſuit. Putauit enim uim inferentes, à coactis odio haberi: ſuadentes uero ita eorum animos uitiare, ut obſequentiores ſibi alienas uxores quàm uiri ſint faciãt, omnemq; ipſis domum ſubijciant, incertumq; efficiãt uirorum filij, uirorũ'ne, an mœchorum ſint: pro quibus quidem legum lator mortis ſupplicio in eos animaduertendum duxit. Me igitur, iudices, leges ipſæ non decreuere ſolum iniuriarum abſoluere, uerum ut & hanc de illo pœnam ſumerem iuſſere. In uobis autem ſitum eſt iudices, utrum haſce leges firmas eſſe, an contẽni prorſus oporteat. Ego quidem arbitror ciuitates omnes eo leges ferre, quo quibus de rebus ambigamus, ad leges perfugiẽtes, quid nobis faciundum ſit, intueamur. Hæ itaq; illos qui huiuſcemodi delicta patrauere tali mulcta plectendos iubẽt. Quare ut eadem ipſi, qua leges inſpicimus, mente ſitis & oro, & rogo. Neq; uero talem impunitatem adulteris facite, ut & fures hoc prætextu ſe adulteros fingant, non ignari, ſi talem de ſe excuſationem adferant, & hoc nomine domos alienas ſe ingreſſos fuiſſe dicant, neminem præterea fore qui eos uel auſit attingere. Omnes enim ingredientur hac occaſione, quod leges de adulteris latas irritari oportere inquiẽt, ac contra ueſtrã de ijs abrogandis ſententiã ratã eſſe debere. Nam hoc unum omnium huius ciuitatis efficaciſſimum eſt ſuffragium. Conſiderate igitur iudices. Nam me accuſant, tanquam ego ancillam illa die qua deprehenſus eſt, iuuenem accerſere iuſſerim. Verum non iniuſte me facere arbitror, uiri Athenienſes, ſi quomodocunque uxoris meæ corruptorem deprehendam. Si enim, quod ſuſurrari audio, uerum ni fallor, iniuria, illum accedere iuſſiſſem, iam merito crimini forem obnoxius.

Quod

ἐὰν δὲ γυναῖκα ἐφ' ἅις περ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι. οὕτως ὦ ἄνδρες, τοὺς βιαζομένους ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι, ἢ τοὺς πείθοντας. τῶν μὲν γὰρ, θάνατον κατέγνω, τοῖς δὲ, διπλῆν ἐποίησε τὴν βλάβην, ἡγούμενος, τοὺς μὲν διαπραττομένους βίᾳ, ὑπὸ τῶν βιασθέντων μισεῖσθαι, τοὺς δὲ πείσαντας οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν, ὥστ' οἰκειοτέρας αὐτοῖς ποιεῖν τὰς ἀλλοτρίας γυναῖκας, ἢ τοῖς ἀνδράσι καὶ πᾶσαν ἐπ' ἐκείνοις τὴν οἰκίαν γεγονέναι, καὶ τοὺς παῖδας ἀδήλους εἶναι, ὁποτέρων τυγχάνουσιν ὄντες τῶν ἀνδρῶν ἢ τῶν μοιχῶν. ἀνθ' ὧν ὁ τὸν νόμον τιθεὶς θάνατον αὐτοῖς ἐποίησε τὴν ζημίαν. ἐμοῦ τοίνυν, ὦ ἄνδρες, οἱ μὲν νόμοι, οὐ μόνον ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες, ταύτην τὴν δίκην λαμβάνειν. ἐν ὑμῖν δὲ ἐστὶ πότερον χρὴ τούτους ἰσχυροὺς ἢ μηδενὸς ἀξίους εἶναι. ἐγὼ γὰρ οἶμαι πάσας τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους τίθεσθαι, ἵνα περὶ ὧν ἂν πραγμάτων ἀπορῶμεν, παρὰ τούτους ἐλθόντες σκεψώμεθα, ὅ, τι ἡμῖν ποιητέον ἐστίν. οὗτοι τοίνυν περὶ τῶν τοιούτων τοῖς ἀδικουμένοις τοιαύτην δίκην λαμβάνειν παρακελεύονται. οἷς ὑμᾶς ἀξιῶ τὴν αὐτὴν γνώμην ἔχειν. εἰ δὲ μὴ τοιαύτην ἄδειαν τοῖς μοιχοῖς ποιήσετε, ὡς καὶ τοὺς κλέπτας ἐπαρεῖτε φάσκειν μοιχοὺς εἶναι, εὖ εἰδότας ὅτι ἐὰν ταύτην τὴν αἰτίαν περὶ ἑαυτῶν λέγωσι, καὶ ἐπὶ τούτῳ φάσκωσιν εἰς τὰς ἀλλοτρίας οἰκίας εἰσιέναι, οὐδεὶς αὐτῶν ἅψεται. πάντες γὰρ εἴσονται, ὅτι τοὺς μὲν νόμους τῆς μοιχείας χαίρειν ἐᾶν δεῖ, τὴν δὲ ψῆφον ὑμετέραν δεδιέναι. αὕτη γὰρ ἐπὶ πάντων τῶν ἐν τῇ πόλει κυριωτάτη. σκέψασθε, ὦ ἄνδρες. κατηγοροῦσι γάρ μου ὡς ἐγὼ τὴν θεράπαιναν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετελθεῖν ἐκέλευσα τὸν νεανίσκον. ἐγὼ δὲ, ὦ ἄνδρες, δίκαιον μὲν ἂν ποιεῖν ἡγούμην, ὅτινι οὖν τρόπῳ τὸν τὴν γυναῖκα τὴν ἐμὴν διαφθείραντα λαμβάνων. εἰ μὲν γὰρ λόγων εἰρημένων ἔργου δὲ μηδενὸς γεγενημένου, μετελθεῖν ἐκέλευον ἐκεῖνον, ἠδίκουν ἄν.

εἰ δὲ ἤδη

Quod ſi omnibus iam peractis, cum qui ſæpenumero meam
eſſet ingreſſus domum, quacunq; ratione cepiſſem, catum me
profecto, prudentemq́; uirum exiſtimarim. Verum animad-
uertite hæc ab iſtis mendacio dici. quã quidem rem facillime
ex hiſce intelligetis. Nam mihi uiri Athenienſes, id quod & an-
tea dixeram, Soſtratus, quo amiciſſime familiariſſimeq́; uterer
ad ſolis occaſum ex agro redeũti obuiam factus cœnauit me-
cum. Is poſtea quã ſe pulchre in cœna inuitaſſet, cœnatus abijt
domum. Atqui illud primum uelim memineritis, animóque
uerſetis uiri Athenienſes, ſi ea nocte inſidias Heratoſtheni tẽ-
dere potuiſſem, quod mihi potius fuerat, aut apud alium cœ-
nare, aut cœnaturum mecum inducere. Sic enim minus ille
auſus ſit ingredi domum meam. Deinde uideár ne uobis, eũ
qui mecum cœnarat, dimiſſo me, ſolum relinqui, ac deſeri: an
potius iubere is apud me maneret, quo mecum unà mœchũ
plecteret. Nolim deinde uobis ſim uiſus iudices, familiaribus
interdiu mandauiſſe, iuſſiſſeq́; in eorum aliquam, qui in pro-
ximo habitarent, amicorum domum congregarentur, magis
quàm ubi extemplo rem noctu ſenſiſſem, circumcurſaſſe, in-
ſcius quem domi, quem foris, offenderem, & ſi ad Armodium
ac Dinem qui haud quaquam aderant ueni. Hos enim abeſſe
neſciebam, alios autem domi non offendiſſem. Quos autem
licuit mecum ſumens profectus ſum. At qui ſi rem præſciſſem
nónne putatis, & ſeruos præparaſſem, amicisq́; demandaſ-
ſem, ut ipſe quàm tutiſſime ingrederer? Quid enim ſcire po-
teram, ſi quid ille ferri ſecum haberet. An quo pluribus cum te-
ſtibus rem conficerem? Nunc autem futurorum neſcius, per
id noctis, quos licuit aſſumpſi mecum, quarum rerum uos mi-
hi teſtes adeſte. TESTES Teſtium dicta audiſtis uiri
Athenienſes, conſiderate uero, ac uobiſcum animo uolutate,
ita hac de re quæritantes, ſi quæ mihi aduerſus Heratoſthenẽ
inimicitiæ unquã fuerint. Præter haſce certe inuenietis nullas.
Nam neq; me, couſcriptis tabellis, unq; per calũnias accuſauit,

neq; ex

εἰ δὲ ἤδη πάντων διαπεπραγμένων, καὶ πολλάκις εἰσεληλυθότος εἰς τὴν οἰκίαν τὴν ἐμὴν, ὁτῳοῦν τρόπῳ ἐλάμβανον αὐτὸν, σωφρονεῖν ἐμαυτὸν ἡγούμην. σκέψασθε δὲ ὅτι καὶ ταῦτα ψεύδονται, ῥᾳδίως δὲ ἐκ τῶνδε γνώσεσθε. Ἐμοὶ γὰρ, ὦ ἄνδρες, ὅπερ καὶ πρότερον εἶπον φίλος ὢν Σώστρατος καὶ οἰκεῖος διακείμενος, ἀπαντήσας ἐξ ἀγροῦ περὶ ἡλίου δυσμὰς συνεδείπνει, καὶ ἐπειδὴ καλῶς εἶχεν αὐτῷ, ἀπιὼν ᾤχετο. καίτοι πρῶτον μὲν, ὦ ἄνδρες, ἐνθυμήθητε, ὅτι εἰ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐγὼ ἐπεβούλευον Ἐρατοσθένει, πότερον ἦν μοι κρεῖττον αὐτῷ ἑτέρωθι δειπνεῖν, ἢ τὸν συνδειπνήσοντα εἰσαγαγεῖν. οὕτω γὰρ ἂν ἧττον ἐτόλμησεν ἐκεῖνος εἰσελθεῖν εἰς τὴν οἰκίαν, εἶτα δοκῶ ἂν ὑμῖν τὸν συνδειπνοῦντα ἀφεὶς, μόνος καταλειφθῆναι, καὶ ἔρημος γενέσθαι, ἢ κελεύειν ἐκεῖνον μεῖναι, ἵνα μετ᾽ ἐμοῦ τὸν μοιχὸν ἐτιμωρεῖτο. ἔπειτα, ὦ ἄνδρες, οὐκ ἂν δοκῶ ὑμῖν τοῖς ἐπιτηδείοις μεθ᾽ ἡμέραν παραγγεῖλαι, καὶ κελεῦσαι αὐτοὺς συλλεγῆναι εἰς οἰκίαν τῶν φίλων τὴν ἐγγυτάτω, μᾶλλον ἢ ἐπειδὴ τάχιστα ᾐσθόμην τῆς νυκτὸς περιτρέχειν, οὐκ εἰδὼς ὅντινα οἴκοι καταλείψομαι, καὶ ὅντινα ἔξω, καὶ ὡς Ἁρμόδιον μὲν καὶ τὸν δεῖνα ἦλθον οὐκ ἐπιδημοῦντας. οὐ γὰρ ᾔδειν, ἑτέρους δὲ οὐκ ἔνδον ὄντας, κατέλαβον. οὓς δὲ οἷός τε ἦν λαβὼν ἐβάδιζον, καί τοι γε εἰ προῄδειν, οὐκ ἂν δοκῶ ὑμῖν, καὶ θεράποντας παρασκευάσασθαι, καὶ τοῖς φίλοις παραγγεῖλαι, ἵν᾽ ὡς ἀσφαλέστατα μὲν αὐτὸς εἰσῄειν. τί γὰρ ᾔδειν, εἴ τι κἀκεῖνος εἶχε σιδήριον, ὡς μετὰ πλείστων δὲ μαρτύρων τὴν τιμωρίαν ἐποιούμην. νῦν δὲ οὐδὲν εἰδὼς τῶν ἐσομένων ἐκείνῃ τῇ νυκτὶ, οὓς οἷός τε ἦν παρέλαβον, καί μοι ἀνάβητε τούτων μάρτυρες.

Μαρτυρίαι. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες. σκέψασθε δὲ παρ᾽ ὑμῖν αὐτοῖς οὕτως περὶ τούτου τοῦ πράγματος ζητοῦντες, εἴ τις ἐμοὶ καὶ Ἐρατοσθένει ἔχθρα πώποτε γεγένηται πλὴν ταύτης, οὐδεμίαν γὰρ εὑρήσετε. οὔτε γὰρ συκοφαντῶν γραφάς με ἐγράψατο,

neq; ex urbe tentauit eicere,neq; priuatam aduerſus me cauſam ullam egit,neq; improbi alicuius mihi facinoris eram conſcius,quod ueritus ne quis crederet,cũ perdere concupierim, neq; ſi hæc patrauiſſem ditior fieri eius morte ſperabam. Pleriq; & enim huiuſmodi rerum gratia,mortem inuicem fabricãtur. Tantum itaq; oportet,aut maledictum,aut cõuitium,aut iurgium,aut contumelia,aut alia quæpiam inter nos cõtẽtio interuenit,at illum hominem niſi ea nocte,uideram nunquã. Quam igitur ob rem huiuſmodi ipſe periculum adiiſſem,niſi id in me ille delictum perpetraſſet,quod unum omnium eſt maximum:deinde aduocatis teſtibus domũ egreſſus eſſem? Ac licuerat,ſi quidem iniuria eum perdere cupiiſſem,horum conſcium mihi adeſſe neminem. Ego itaque uiri Athenienſes haud pro me priuato hãc de ſceleſtiſſimo homine mulctam, ſed pro omni potius ciuitate ſumptam exiſtimo. Nã qui agere talia conſueuerint,cum uiderint qualia præmia huiuſmodi facinoribus poſita ſunt,minus aduerſus alios errabunt,ubi ſcilicet & uos eadem eſſe mente intueantur. Sin uero ſecus facere animati eſtis,longe præſtiterit,latis iam legibus abrogatis, nouas ferre,quibus & his mulcta ſancita ſit,qui ſuas uxores cuſtodierint:& his ſumma licentia conſtituta qui in eas deliquerint. Longe namq; id iuſtius ſit,quã à legibus inſidias ciuibus tendi,quæ ſcilicet iubent,ſi quis adulterum comprehenderit, quamuis in eum poteſtatem habeat,certamina uero grauiora ſunt his qui ſuſceperint iniuriam conſtituta,quam his qui præter leges in alienas uxores dedecus admiſerint. Nam ipſe nũc & de capite,& de fortunis,ac de reliquis rebus omnibus periclitor,quod ciuitatis legibus paruerim.

FINIS.

ὅν τε ἐκβαλὼν ἐκ τῆς πόλεως ἐπεχείρησεν, οὔ τε ἰδίας δίκας ἐδικάζετο, οὔ τε συνῄδει κακὸν οὐδὲν, ὃ ἐγὼ δεδιὼς μή τις πύθηται, ἐπεθύμουν αὐτὸν ἀπολέσαι. οὔ τε εἰ ταῦτα διεπραξάμην, ἔλπιζον μὲν χρήματα λήψεσθαι. ἔνιοι γὰρ τοιούτων πραγμάτων ἕνεκεν, θάνατον ἀλλήλοις ἐπιβουλεύουσι. τοσούτου τοίνυν δεῖ ἢ λοιδορία, ἢ παροινία, ἢ ἄλλη τις διαφορὰ ἡμῖν γεγονέναι, ὥστε οὔ τε ἑωρακὼς ἦν τὸν ἄνθρωπον πώποτε πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. τί οὖν βουλόμενος ἐγὼ τοιοῦτον κίνδυνον ἐκινδύνευον, εἰ μὴ τὸ μέγιστον τῶν ἀδικημάτων ἦν ὑπ᾽ αὐτοῦ ἠδικημένος; ἔπειτα παρακαλέσας αὐτὸς μάρτυρας ἠσέβουν, ἐξόν μοι εἴπερ ἀδίκως ἐπεθύμουν αὐτὸν ἀπολέσαι, μηδένα μοι τούτων συνειδέναι. Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω ταύτης γενέσθαι τὴν τιμωρίαν, ἀλλ᾽ ὑπὲρ τῆς πόλεως ἁπάσης. οἱ γὰρ τοιαῦτα πράττοντες, ὁρῶντες οἷα τὰ ἆθλα πρόκειται τῶν τοιούτων ἁμαρτημάτων, ἧττον εἰς τοὺς ἄλλους ἐξαμαρτήσονται. ἐὰν καὶ ὑμᾶς ὁρῶσι τὴν αὐτὴν γνώμην ἔχοντας. εἰ δὲ μὴ πολὺ κάλλιον, τοὺς μὲν κειμένους νόμους ἐξαλεῖψαι, ἑτέρους δὲ θεῖναι, οἵ τινες τοὺς μὲν φυλάττοντας τὰς ἑαυτῶν γυναῖκας, ταῖς ζημίαις ζημιώσουσι, τοῖς δὲ βουλομένοις εἰς αὐτὰς ἁμαρτάνειν, πολλὴν ἄδειαν ποιήσουσι. πολὺ γὰρ οὕτω δικαιότερον, ἢ ὑπὸ τῶν νόμων τοὺς πολίτας ἐνεδρεύεσθαι. οἳ κελεύουσι μὲν ἐάν τις μοιχὸν λάβῃ, ὅ τι ἂν βούληται χρῆσθαι. οἱ δὲ ἀγῶνες δεινότεροι τοῖς ἀδικουμένοις καθεστήκασιν, ἢ τοῖς παρὰ τοὺς νόμους τὰς ἀλλοτρίας καταισχύνουσι γυναῖκας. ἐγὼ γὰρ νῦν καὶ περὶ τοῦ σώματος, καὶ περὶ τῶν χρημάτων, καὶ περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω, ὅτι τοῖς πόλεως νόμοις ἐπειθόμην.

ΤΕΛΟΣ.

LYSIAE ORATORIS, FVNEBRIS ORATIO PRO ijs Athenienſibus qui Corinthijs aduerſus Lacedæmonios auxiliũ ferentes prælio interiere.

SI FIERI poſſe exiſtimarem, ó uiri, qui huic funeri adeſtis, ut eorum qui hoc loci conditi ſunt, fortium uirtus hominũ oratione oſtendi poſſet, accuſarem profecto illos qui paucos dies de iſtorum laudibus dicendum ſtatuiſſent. Sed cum neq; omnis ætas cunctis mortalibus parem orationem præclaris horum facinoribus præſtare quiret: eo & ipſa ciuitas uidetur mihi breue temporis curriculum præſcripſiſſe, quippe quæ his conſulere uoluerit, qui hic uerba facturi ſunt. Sic enim illos ueniam ab auditoribus facilius aſſecuturos arbitrabatur. Verum tamen hac mihi de re oratio eſt habenda. Certamen tamen omne non circa horum res geſtas, ſed aduerſus eos qui antea de iſtorum laudibus dixere, uerſatur. Tãtam enim horum uirorum inaudita & incredibilis penè uirtus ubertatem, tantam materiam, tantam copiam præſtitit, & his qui poëmate ualent, & his qui dicendi elegantia uti uolũt, ut & multa quidem & pulchra, ij qui de ipſis antea uerba habuere planè dixerint: multa uerò, & ab illis relicta fuerint, quæ ſatis ſuperq́; dicendi argumenta poſteris omnibus allatura ſint. Nullius enim ij neq; terræ, neq; maris cuiuſpiam rudes extitere. Vbique immortales horum uirtutes celebrantur.

Primum

ΛΥΣΙΟΥ ΤΟΥ

ῬΉΤΟΡΟΣ ἘΠΙΤΆΦΙΟΣ ΛΌΓΟΣ ΤΟΙ͂Σ ΚΟΡΙΝΘΊΩΝ ΒΟΗΘΟΙ͂Σ.

Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες, ἐπὶ τῷδε τῷ τάφῳ, λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετὴν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν. ἐπειδὴ δὲ τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. ὅμως δὲ ὁ μὲν λόγος μοι περὶ τούτων, ὁ δ' ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας. τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ, καὶ τοῖς ποιεῖν δυναμένοις, καὶ τοῖς εἰπεῖν βουληθεῖσιν, ὥστε καλὰ μὲν πολλὰ τοῖς προτέροις περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι, ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι εἰπεῖν. οὔτε γὰρ γῆς ἄπειροι, οὔτε θαλάττης οὐδὲ μιᾶς, πανταχοῦ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις, οἱ τὰ αὐτῶν πενθοῦντες κακὰ τὰς τούτων ἀρετὰς ὑμνοῦσι.

Primum itaq; uetera maiorum pericula pro celebrata famæ memoria enarrabo. Dignum eſt enim ut omnes homines illorum meminerint, & in præconijs cantuum extollendo, & in fortium uirorum monumentis dictitando, & in huiuſmodi tempeſtate honoribus proſequendo, & in defunctorum operibus ſuperſtites erudiendo. Amazones enim Martis olim filiæ fuere: eæ ad Thermodontem fluuium habitabant. Quæ quidẽ ſolæ inter finitimos ferro armatæ, primæ omniũ equos aſcendêre. His autem uſæ inſperato ob imperitiam repugnantium, & fugientes conſequebantur, & inſequentes longe relinquebant. Putabâturq; ob animorum magnitudinem, uiri potius quàm ob ſexum mulieres. Magis nanq; uiris animo præſtare uidebantur, quàm ſpecie cedere. Cum igitur permultis eæ gentibus imperitarent, & in ſeruitutem finitimos egiſſent ac de maximo huiuſce urbis nomine ſplendoreq; accepiſſent, gloria & ſpe fretæ, aſſumptis bellaciſſimis nationibus aduerſus hanc urbem exercitum ductauere, ubi probos nactæ uiros, ingenio ſimiles animos reddiderunt. Et priore illa fruſtratæ opinione, ex periculorum potius magnitudine mulieres, quàm ex diſſimilitudine corporum uiſæ ſunt. Quibus certe ſolis non licuit ex erratis cõmonefactis, quod factum melius in poſterum foret conſulere, neq; domum redeuntes, & ſuam nunciare calamitatem, & noſtrorum patrum uirtutem referre potuerunt. Nam in hoc loco pereuntes, & amentiæ pœnam dantes, huius quidem urbis ob uirtutis decus, immortalẽ memoriam effecere, ſuam uero patriam, ob eam quam hic cladẽ ſuſcepiſſent, obſcuram & ignobilem reddidere. Illæ itaque quæ alienum ſolum iniuria concupiſſent, ſuum iure perdiderunt. Adraſto autem atque Polynice aduerſus Thebas legiones ductitantibus, ac prælio ſuperatis, cũ Thebani humari cadauera prohiberent, Athenienſes, ubi ſecum æſtimaſſent,

illos ſi

πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι, μνήμην παρὰ τῆς φήμης λαβών. ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κἀκείνων μεμνῆσθαι, ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δὲ ἐν ταῖς τῶν ἀγαθῶν γνώμαις, τιμῶντας δὲ ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δὲ ἐν τοῖς τεθνεώτων λόγοις τοὺς ζῶντας. ἀμαζόνες μὲν γὰρ ἄρεος μὲν τὸ παλαιὸν ἦσαν θυγατέρες, οἰκοῦσαι δὲ παρὰ τὸν θερμώδοντα ποταμόν, μόναι μὲν ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτάς, πρῶται δὲ τῶν πάντων ἐφ᾽ ἵππους ἀναβᾶσαι, οἷς ἀνελπίστως δι᾽ ἀπειρίαν τῶν ἐναντίων, ᾕρουν μὲν τοὺς φεύγοντας, ἀπέλειπον δὲ τοὺς διώκοντας. ἐνομίζοντο δὲ διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες, ἢ διὰ τὴν φύσιν γυναῖκες. πλέον γὰρ ἐδόκουν τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν, ἢ ταῖς ἰδέαις ἐλλείπειν. ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν τοὺς περὶ αὐτὰς καταδεδουλωμέναι, λόγῳ δὲ περὶ τῆσδε τῆς χώρας ἀκούουσαι κλέος μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν, παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν, ἐστράτευσαν ἐπὶ τήνδε τὴν πόλιν, τυχοῦσαι δὲ ἀγαθῶν ἀνδρῶν, ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει, καὶ ἐναντίαν τὴν δόξαν τῆς προτέρας λαβοῦσαι, μᾶλλον ἐκ τῶν κινδύνων, ἢ ἐκ τῶν σωμάτων ἔδοξαν εἶναι γυναῖκες. μόναις δὲ αὐταῖς οὐκ ἐξεγένετο ἐκ τῶν ἡμαρτημένων μαθούσαις περὶ τῶν λοιπῶν ἄμεινον βουλεύσασθαι, οὐδὲ οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν αὐτῶν δυστυχίαν, καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν. αὐτοῦ γὰρ ἀποθανοῦσαι, καὶ δοῦσαι δίκην τῆς ἀνοίας, τῆσδε μὲν τῆς πόλεως διὰ τὴν ἀρετὴν, ἀθάνατον μνήμην ἐποίησαν, τὴν δὲ ἑαυτῶν πατρίδα, διὰ τὴν ἐνθάδε συμφορὰν, ἀνώνυμον κατέστησαν. ἐκεῖναι μὲν οὖν τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσασαι, τὴν αὑτῶν δικαίως ἀπώλεσαν. ἀδράστου δὲ καὶ πολυνείκους ἐπὶ θήβας στρατευσάντων, καὶ ἡττηθέντων μάχῃ, οὐκ ἐώντων τῶν καδμείων θάπτειν τοὺς νεκρούς, ἀθηναῖοι ἡγησάμενοι

ἐκείνους

illos ſi quid per iniuriam patrauiſſent, pœnam morte dediſſe maximam, manes uero haud ea ſortiri, quæ ſua forent, quippe quod per ſacrorum piacula, dij ſuperi impietate irritētur. Primum quidem miſſis præconibus, eos deprecātur, ut mortuos humari ſinerent. Exiſtimabant enim uirorum fortium eſſe, in uiuos hoſtes animaduertere, meticuloſorum autem ac ſuis uiribus diffidentium in mortuorum corpora animi magnitudinem oſtentare. Cum id uero aſſequi nequiſſent, aduerſus illos exercitus eduxere. Nec ulla prorſus contentionis ſeges maioribus noſtris aduerſus Thebanos fuerat. Neq; Argiuis ſuperſtitibus gratificari uoluere. Verum cum dignum ducerēt, eis qui bello perijſſent iuſta perſolui, aduerſus alteros, pro utriſq; periculum ſubierunt. Pro illis quidem, ne in defunctos uita, etiam delinquentes, maiore ludibrio deos inſequerentur: pro alteris uero, ne prius quàm in ſuam patriam abijſſent, honorē patrium minus ſortirentur, Græciſq; legitimis priuati, ſpe etiā communi planè fruſtrarentur. His itaq; freti rationibus, ac belli fortunas cōmunes omnium hominum arbitrantes, & ſi hoſtes ſibi quidem permultos comparauere, iure tamen muniti ſocio, ſuperiores prælio extiterunt. Neq; ſecundis tamen elati rebus maius ex Thebanis ſupplicium affectarunt, ſed illis quidem pro nephario eorum facinore, ſuā demonſtrauere uirtutem. Eaq; conſecuti, quorum gratia uenerant, Argiuorum cadauera in ſua Eleuſine ſepelicre. Aduerſum ſeptem igitur regum, Thebanæ expeditionis interemptas legiones, Athenienſes tales ſe præſtiterunt. In pòſterum uero tempus, poſtea quàm Hercules humanis rebus exceſſit, & eius filij, Euryſtheum fugientes, à Græcorum nemine exciperentur: utpote quibus plus terroris Euryſthei uis quàm ſplendor rerum ab eo geſtarum pudoris afferrent, ſeſe in hanc urbem recipientes, ſupplices pro aris conſedere. Eos autem Euryſtheo expoſcenti, Athenienſes tradere quidem noluerunt, ſed Herculis uereri uirtutē, quàm ſuum formidare periculum maluere,

ἐκείνους μὲν εἰς ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ αὑτῶν οὐ κομίζεσθαι, ἱερῶν δὲ μιαινομένων τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι, τὸ μὲν πρῶτον πέμψαντες κήρυκας, ἐδέοντο αὐτῶν δοῦναι τῶν νεκρῶν ἀναίρεσιν, νομίζοντες ἀνδρῶν μὲν ἀγαθῶν εἶναι ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων δὲ σφίσιν αὐτοῖς ἐν τοῖς τῶν τεθνεώτων σώμασι τὴν εὐψυχίαν ἐπιδείκνυσθαι. οὐ δυνάμενοι δὲ τούτων τυχεῖν, ἐστράτευσαν ἐπ' αὐτούς, οὐδὲ μιᾶς διαφορᾶς πρότερον πρὸς καδμείους ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσιν ἀργείων χαριζόμενοι, ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες τῶν νομιζομένων τυγχάνειν πρὸς τοὺς ἑτέρους, ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν. ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες, πλείω περὶ τοὺς θεοὺς ἐξυβρίζωσιν. ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον εἰς τὴν αὑτῶν ἀπέλθωσι, πατρίου τιμῆς ἀτυχήσαντες, καὶ ἑλληνικοῦ νόμου στερηθέντες καὶ κοινῆς ἐλπίδος ἡμαρτηκότες. ταῦτα διανοηθέντες, καὶ τὰς ἐπὶ τῷ πολέμῳ τύχας, κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίους κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον, ἐνίκων μαχόμενοι. καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες, μείζονος παρὰ καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλλ' ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας, τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο, αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα ὧν περ ἕνεκα ἀφίκοντο, τοὺς ἀργείων νεκροὺς ἔθαψαν ἐν τῇ αὑτῶν ἐλευσῖνι. περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ θήβας, τοιοῦτοι γεγόνασιν.

χρόνῳ δ' ὕστερον ἐπειδὴ ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθη. οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν εὐρυσθέα, ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν ἑλλήνων, αἰσχυνομένων μὲν τοῖς ἔργοις, φοβουμένων δὲ τὴν εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν, ἱκέται ἐπὶ τὸν βωμὸν ἐκαθέζοντο. ἐξαιτουμένου δὲ αὐτοὺς εὐρυσθέως, ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν ἡρακλέους ἀρετὴν μᾶλλον ᾐδοῦντο, ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο,

& pro infirmioribus,iuſte concertare ,quàm potioribus obſe/
quentes,affectos ab illis iniuria dedere ,dignius cenſuerunt.
Quam ob rem,cum Euryſteus tum ſuis ,tum eorum qui per
id temporis Peloponeſum tenerent ,fretus uiribus aduerſum
hanc urbem legiones,ductitaſſet ,neq; in tam præſenti diſcri/
mine,maximiſq; terroribus maiores noſtros pœnituit,qui ea
ſeſe mente ac ſententia præſtiterunt,qua antea extitiſſent.Nã
tametſi,neq; boni priuatim quippiam ob eorum patrem ſuſce
perant,neq; illos norant cuiuſmodi,qui nam eſſent futuri uiri,
tamen ſuæ iuſticiæ eſſe duxere,ut uel nullis antea in Euryſteũ
inimicitijs,neq; ullo præter gloriæ præmiũ,quæſtu poſito,tan/
tum pro ijs periculi ſuſciperent.Enim uero & iniuriam patien
tes miſerebantur,& inferentes odio inſequebãtur.Proinde &
hos arcere ab iniuria pergebãt ,& his auxilium ferre dignum
arbitrabantur.Exiſtimabant enim libertatis argumentum ,ni/
hil inuitos facere,iuſticiæ uero iniuria laceſſitis auxilio eſſe:ma
gnanimitatis autẽ pro bis utriſq; ſi opus fuerit,pugnando in/
terire.Vtriq; autem uſq;adeo clatis animis erant ,ut neq; qui
cum Euryſteo ſentiebant,quicquam ab inuitis aſſequi poſce/
rent,neq; Athenienſes dignum ducerẽt,ut Euryſteus ipſe ſup/
plicans ſupplices Herculis filios ab ſeſe extruderet.Cum uero
priuatis uiribus in aciem contra perrexiſſent,ex omni Pelopo
neſo inferẽtes ſe legiones prælio ſuperarũt. Sicq; Herculis fi/
lijs,pſpexere,ut & eorũ corpora in tuto cõſtituerẽt,& omi ſub
lata formidine,animos etiã ob patris uirtutẽ liberarẽt.Illos cer
te ſuis piculis ipſi coronãtes,lõge meliore fortuna uſos oſtẽde/
rũt,q̃ unq; pater extitiſſet.Ille nãq;,& ſi plurimorũ mortalib⁹
bonorũ fuiſſet autor,uitã ſibi & laborioſã,& cõtẽtioſã ambiti/
oſamq; cõſtituẽs.iniuſtos quidẽ alios mulctauit ,in Euryſteũ
uero,q & inimic⁹ eſſet,& iniuria ſe afficeret,aĩaduertere haud
potuit.Eius aũt filij,huiuſce urbis beneficio,uiderũt eodẽ die
& ſe ſaluos factos,& inimicos ſupplicio affectos.Eñ uero per
multa maioribus noſtris ſuberant,quibus una eadẽ ſententiã.

iuſticiæ

καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι μᾶλλον, ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους ἐκδοῦναι. ἐπιστρατεύσαντος δὲ Εὐρυσθέως μετὰ τῶν τῷ ἐκείνων χρόνῳ πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς τῶν δεινῶν γενόμενοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην, ἥν περ τὸ πρότερον. ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν πεπονθότες, ἐκείνους τ' οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσοιντο γενόμενοι. δίκαιον δὲ νομίζοντες εἶναι, οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ αὐτῶν ἤραντο, τοὺς μὲν ἀδικουμένους, ἐλεοῦντες, τοὺς δὲ ὑβρίζοντας, μισοῦντες, καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δ' ἐπαρκεῖν ἀξιοῦντες, ἡγούμενοι ἐλευθερίας μὲν σημεῖον εἶναι, μηδὲν ποιεῖν ἄκοντας, δικαιοσύνης δὲ τοῖς ἀδικουμένοις βοηθεῖν, εὐψυχίας δ' ὑπὲρ τούτων ἀμφοτέρων εἰ δέοι, μαχομένους ἀποθνήσκειν. τοσοῦτον δ' ἐφρόνουν ἀμφότεροι, ὥσθ' οἱ μὲν μετ' Εὐρυσθέως οὐδὲν παρ' ἑκόντων ἐζήτουν εὑρίσκεσθαι, Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα αὐτοὺς ἱκετεύοντα, τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. παραταξάμενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης πελοποννήσου στρατιὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι. καὶ τῶν παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν, τὰς δὲ ψυχὰς ἠλευθέρωσαν. διὰ τὴν τοῦ πατρὸς ἀρετὴν, ἐκείνους δὲ τοῖς αὐτῶν κινδύνοις ἐστεφάνωσαν. τοσοῦτον δὲ εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός. ὁ μὲν γὰρ καί περ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον καὶ φιλόνεικον, καὶ φιλότιμον αὑτῷ καταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν, Εὐρυσθέα δὲ καὶ ἐχθρὸν ὄντα, καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα, οὐκ οἷός τε ἦν τιμωρήσασθαι. οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε τὴν πόλιν τῇ αὐτῇ ἡμέρᾳ τήν θ' ἑαυτῶν σωτηρίαν, καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν. πολλὰ μὲν οὖν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μιᾷ γνώμῃ χρωμένοις

iuſticiæ certamē caperēt. Nā & ipſa uiuēdi primordia iuſticia
ſequebat̃. Nō em̄ ueluti alij multi undiq; cōfluētes, alienū ſolū
prioribus expulſis colonis, incoluerūt, ſed indigenæ hāc ipſā ſi
bi, & matrē & patriā nacti ſunt. Idē uero & primi ea tēpeſtate
ſoliq; extitere, q tyrānis ex hac ora ciectis, populi principatum
conſtituerent. Exiſtimabant enim communem omniū liberta
tem, concordiam eſſe maximam. Quare cum ſpe inter ſe com
munium pericula agitarent, rem publicam liberis animis gere
bant, lege quidem, bonos honorando, malos autem iure ple/
ctendo. Cenſebant enim beluarum eſſe, ut uim ſibi inuicem af
ferrent: decere autem homines, lege quidem ius diffinire, ora/
tione autem perſuadere, re uero hiſce inſeruire: quippe quod
à lege regantur, ab oratione autem doceantur. Itaque & ho/
neſte geniti, & honeſta ſentientes, plurima certe, horum qui
hoc loci poſiti ſunt progenitores, & pulchra facinora admira/
biliaq; geſſere. Qui uero ex illis orti ſunt trophæa certe ſua uir
tute, tum memoratu digna, tum magna, tum ubique gentium
reliquere. Soli namq; aduerſus multa barbarorum milia pro
omni Græcia dimicarunt. Darius enim Aſiæ rex, haud contē
tus præſentibus bonis, ſed ſperans Europam in ſeruitutē age/
re, quingentorum milium hominum exercitum miſit. Hij au/
tem rati, ſiue hanc ciuitatem ſua ſponte amicam fecerint, ſiue
inuitam ſuperarint, facile reliquis Græcis imperari poſſe, Ma/
rathonem occupauere. Ita namq; deſtitutum iri ſocijs Græcos
arbitrabantur, ſi trepidante adhuc Græcia, quo pacto inuadēti
bus repugnādum ſit periculū fecerint. Accedebat ad rē, quod
his de hac urbe ex prioribus rebus geſtis opinio innotuerat,
ut ſi quidē aduerſus aliā prius urbē ire perrexerint, & illos forēt
Athenienſeſque repugnantes habituri, quippe quod ſumma
cum animorum alacritate, auxilium iniuſte affectis ſcirent al/
laturos: ſin autem copias huc egerint, nullos Græcorum alios
fore, qui pro aliorum ſalute, belli molem ſubire, præſumerent

manifeſtaſq;

περὶ τῆς δικαίου διαμάχεσθαι. ἥ τε γὰρ ἀρχὴ τοῦ βίου δικαία. οὐ γὰρ ὥσπερ οἱ
πολλοὶ πανταχόθεν συνειλεγμένοι, καὶ ἑτέρους ἐκβαλόντες, τὴν ἀλλο-
τρίαν ᾤκησαν, ἀλλ' αὐτόχθονες ὄντες, τὴν αὐτὴν ἐκέκτηντο μητέρα καὶ
πατρίδα. πρῶτοι δὲ καὶ μόνοι, ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκβάλλοντες τὰς
παρὰ σφίσιν αὐτοῖς δυναστείας, δημοκρατίαν κατεστήσαντο, ἡγούμενοι τὴν
πάντων ἐλευθερίαν, ὁμόνοιαν εἶναι μεγίστην. κοινὰς δ' ἀλλήλοις τὰς
ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες, ἐλευθέραις ταῖς ψυχαῖς ἐπολι-
τεύοντο, νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες καὶ τοὺς κακοὺς κολάζοντες. ἡγη-
σάμενοι θηρίων μὲν ἔργον εἶναι ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι. ἀνθρώ-
ποις δὲ προσήκειν, νόμῳ μὲν ὁρίσαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι, ἔργῳ δὲ
τούτοις ὑπηρετεῖν, ὑπὸ νόμου μὲν βασιλευομένοις, ὑπὸ λόγου δὲ διδασκο-
μένοις. καὶ γάρ τοι καὶ φύντες καλῶς καὶ γνόντες ὅμοια, πολλὰ μὲν κα-
λὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε κειμένων εἰργάσαντο, ἀείμνηστα
δὲ καὶ μεγάλα, καὶ πανταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες, τρόπαια διὰ τὴν
αὑτῶν ἀρετὴν κατέλιπον. μόνοι γὰρ ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων
πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν. ὁ γὰρ τῆς ἀσίας
βασιλεὺς οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν
εὐρώπην δουλώσεσθαι, ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. ἡγησάμε-
νοι δ' εἰ τήνδε τὴν πόλιν, ἢ ἑκοῦσαν φίλην ποιήσαιντο, ἢ ἄκουσαν καταστρέ-
ψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς μαραθῶνα, νομί-
σαντες οὕτως ἂν [illegible] εἶναι συμμάχων τοὺς Ἕλληνας
εἰ ἔτι στασιαζούσης τῆς Ἑλλάδος ᾧ τινι ἐπιόντας ἀμύνασθαι, τὸν κίνδυνον
ποιήσαιντο. ἔτι δὲ αὐτοῖς ἐκ τῶν προτέρων ἔργων περὶ τῆς πόλεως τοιαύτης
δόξης ἐπ' ἄλλην πόλιν ἴοιεν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμή-
σουσι προθύμως τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες, εἰ δ' ἐνθάδε πρῶ-
τον ἀφίξοιντο, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν, ἑτέρους σῴζοντας

manifeſtasq; prolis inimicitias aduerſum ſe illorū irritare. Barbari itaq; huiuſmodi ſententia fuere. Maiores autē noſtri non cogitatione ac metu quodam, belli pericula internoſcentes, ac exiſtimantes potius glorioſum letum, probis uiris immortalē laudem relicturum, nequaquam hoſtium multitudinē formidarunt, ſed propriæ uirtuti potius fiſi, & eo pudore acti, ſuum Barbari agrum occupaſſent, expectare noluerūt, quo ad ſocij perſuaſi auxilio uenirent. Neq; rati quidē ſunt, oportere ut ipſi reliquis Græcis, ſed reliqui ſibi potius haberent ſalutis gratias. Quæ cum omnes una mente ſentirēt, obuiam proceſſere, & pauci illi aduerſus multos. Putabant enim mortē ſibi cū multis eſſe cōmuniorem, fortium autem uirorū eſſe, ut parua muniti manu alienas animas ſua morte redimerent, ac memoriā ex periculis priuatam relinquerēt. Non autē abſurde cenſebāt quos minus ſoli uiciſſent, neq; cum ſocijs quidem poſſent, & ut uicti quod parum ante alios interirent. Si uero uicerint, & reliquos quoq; liberarint. Quapropter, cū probos ſe uiros præſtitiſſent, uirtutis autem gratia uitam contempſiſſent, magisq; ſuas apud leges ueriti eſſent, quàm belli periculum timuiſſent. Trophæa de Barbaris, qui auri cupiditate, in alienum ſolū impetum feciſſent, pro Græciæ libertate, ad Atticæ confinia firmauere. Tanta uero cum celeritate, id diſcriminis confecerunt, ut illi ipſi Barbarorum in hunc agrum aduentum, noſtrorumque patrum uictoriam cæteris nunciarint. Et enim pro futuro periculo metuit reliquorum nemo. quin de ſua libertate certiores effecti incredibili quadam lætitia gaudióque perfuſi ſunt. Nihil itaque mirum ceſſerit, ſi ob uetera præclaráque facinora, perinde atque ſi noua eſſent, & iam hoc tempore cuncti mortales noſtrorum maiorum uirtutem admirentur æmulentúrque. Poſt hæc autem Xerxes Aſiæ rex, cum eſſet Græciam aſpernatus, ſuáque illum feſelliſſet ſpes, & ob rem male geſtam ſeſe inhonoratum intueretur, excruciaretúrque animi, autoribus calamitatis iratus,

utpote

φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι. οἱ μὲν τοίνυν
ταῦτα ταῦτα διενοοῦντο, ἀλλ' οἱ ἡμέτεροι πρόγονοι οὐ λογισμῷ εἰδότες | δόντες
τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον
ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον, οὐκ ἐφοβήθησαν τὸ
πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὐτῶν ἀρετῇ μᾶλλον ἐπίστευσαν. καὶ
αἰσχυνόμενοι ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν
πυθέσθαι, οὐδὲ βοηθῆσαι τοὺς συμμάχους, οὐδ' ᾤοντο δεῖν, ἑτέροις
τῆς σωτηρίας χάριν εἰδέναι, ἀλλὰ σφίσιν αὐτοῖς, τοὺς ἄλλους Ἕλληνας. πάντας τοὺς
ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες, ἀπήντων, ὀλίγοι πρὸς πολλούς.
ἡγοῦντο γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων προσήκειν.
ἀγαθοὺς δ' εἶναι μετ' ὀλίγων. καὶ τὰς μὲν ψυχὰς ἀλλοτρίας
διὰ τὸν θάνατον ἐκτῆσθαι. τὴν δ' ἐκ τῶν κινδύνων μνήμην
διὰ καταλείψειν. ἠξίουν δὲ οὓς μὴ μόνοι νικῷεν, οὐδ' ἂν
μετὰ τῶν συμμάχων δύνασθαι. καὶ ἡττηθέντας μὲν, ὀλίγῳ
~~[illegible]~~
πρὸ τῶν ἄλλων προαπολεῖσθαι. νικήσαντες δὲ καὶ τοὺς ἄλλους
ἐλευθερώσειν. ἄνδρες δ' ἀγαθοὶ γενόμενοι καὶ τῶν μὲν σωμάτων
ἀφειδήσαντες ὑπὲρ δὲ ἀρετῆς οὐ φιλοψυχήσαντες, καὶ μᾶλλον
τοὺς παρὰ τοὺς νόμους αἰσχυνόμενοι, ἢ τὸν πρὸς τοὺς πολεμίους
κίνδυνον φοβούμενοι, ἔστησαν μὲν τρόπαιον ὑπὲρ τῆς Ἑλλά-
δος τῶν βαρβάρων ἐν τῇ αὐτῶν. ὑπὲρ χρημάτων εἰς τὴν ἀλλο-
τρίαν ἐμβαλόντων παρὰ τοὺς ὅρους τῆς χώρας. οὕτω δὲ διὰ
ταχέων τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις ἀπήγγειλαν,
ἐνθάδε τήν τ' ἐνθάδε ἄφιξιν τῶν βαρβάρων, καὶ τὴν νίκην τῶν προγόνων. νίκην
καὶ γὰρ τοι οὐδεὶς τῶν ἄλλων ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος
κινδύνου, ἀλλ' ἀκούσαντες ὑπὲρ τῆς αὐτῶν ἐλευθερίας ἥσθησαν. ὥστε
οὐδὲν θαυμαστὸν πάλαι τῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν ὄντων,
ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι. μετὰ
Ξέρξης ταῦτα δὲ, Ξέρξης ὁ τῆς Ἀσίας βασιλεύς, καταφρονήσας μὲν τῆς Ἑλλάδος,
ἐψευσμένος δὲ τῆς ἐλπίδος, ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ. ἀχθόμενος
δὲ τῇ συμφορᾷ. ὀργιζόμενος δὲ τοῖς αἰτίοις. ἀπαθὴς δὲ ὢν κακῶν καὶ
ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασάμενος, διακοσίαις
μὲν καὶ χιλίαις ναυσὶν ἀφίκετο. τοῦ δὲ πεζοῦ στρατιᾶς οὕτως ἄπλετον
τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα, πολὺ

utpote qui neq; malorum quicquam paſſus, neq; fortiſſimos
uiros expertus eſſet, quos decennium compararat: cum naui/
bus mille ac ducētis ueniebat, peditum autem infinitam adeo
multitudinem agebat, ut ſi quis eas nationes, quæ eum ſeque/
bantur, numero complecti uoluerit, laborioriſſimum admo-
dum ſit. Quod uero maximum eſt argumentum multitudi/
nis, cum ſibi liceret ad anguſtiſſimū Helleſponti omnes pede/
ſtres copias, ex Aſia in Europam traicere, haud uoluit. Puta/
bat enim hoc pacto non parum ſibi temporis terendū. Qua/
re & natura ingenitas, diuinasq; res, atque humana ingenia
aſpernatus, per ipſū mare iter aggreſſus eſt, & nauigatiōe per
continentem facta Helleſpontum iunxit. Athon diffodit, ne/
mo ſubſtinuit, nemo reſtitit. Sed alij quidem inuiti paruere,
alij uero ſe ultro dedidere. Nam hi quidem ſatis ad repugnan
dum uirium nō habebant, hi uero pecunijs uiciati corruptiq;
fuerant. Vtróq; autem inclinabātur & quæſtu, & metu. Athe
nienſes uero in hoc Græciæ ſtatu, naues ipſi aſcendentes ad
Arthemiſium auxilia contulere. Lacedæmonij autem & ex ſo/
cijs aliqui ad Thermopylas obuiam facti ſunt. Putabant em̄
ob locorum anguſtias, tranſitum tueri poſſe. Cum periculum
uero appteret, per idem temporis, Athenienſes quidem na/
uali bello ſuperiores euaſere, Lacedæmonij autem, haud ani/
morum inopes facti, ſed eorum decepti multitudine, & quos
pro locorū præſidijs futuros exiſtimaſſent, & aduerſum quos
dimicaturi forent, haud quidem ab hoſtibus uicti, ſed quo in
loco ad pugnandum politi fuerant, interempti ſunt. Hoc igi/
tur pacto Lacedæmonijs ea calamitate perculſis Perſæ qui
tranſitus potiti eſſent, in hanc urbem caſtra mouebant. Maio
res autem noſtri, ubi de Lacedæmoniorum clade accepiſſent,
ancipiti in periculo conſtituti erant, haud ignari, ſi quidem ter
teſtribus copijs cum barbaris congrediantur, adnauigantes il/
li cum mille nauibus, uacuam urbem capient: ſin autem trire/
mes inſcendere uoluerint, à pedite capientur. Vtrunq; uero
[illegible] nequiuerint,
[illegible]

πολλὴ ἂν εἴη ἔργον καταλέξαι· ὃ δὲ μέγιστον σημεῖον τοῦ πλήθους, ἐξὸν γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι πεζῇ τὸ στενότατον τοῦ ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ

πεζὴν ~~τὴν [illegible]~~ τῆς ἀσίας εἰς τὴν εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν αὐτῷ πολλὴν ἔσεσθαι, ἀλλ' ὑπεριδὼν, καὶ τὰ φύσει πεφυκότα, καὶ τὰ θεῖα πράγματα, καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν μὲν διὰ τῆς θαλάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι. ζεύξας μὲν τὸν ἑλλήσποντον, διορύξας δὲ τὸν ἄθω, ὑφισταμένου οὐδενὸς, ἀλλὰ τῶν μὲν ἀκόντων ὑπακουόντων, τῶν δὲ ἑκόντων προδιδόντων. οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι, οἱ δὲ ὑπὸ χρημάτων διεφθαρμένοι. ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος, καὶ δέος. ἀθηναῖοι δὲ οὕτω διακειμένης τῆς ἑλλάδος, αὐτοὶ μὲν εἰς τὰς ναῦς ἐμβάντες, ἐπ' ἀρτεμίσιον ἐβοήθησαν, λακεδαιμόνιοι δὲ καὶ τῶν συμμάχων ἔνιοι εἰς θερμοπύλας ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στενότητα τῶν χωρίων, τὴν πάροδον οἷόν τε ἔσεσθαι διαφυλάξαι. γενομένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐτὸν χρόνον, ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ, λακεδαιμόνιοι δὲ οὐ ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι, ἀλλὰ τῷ πλήθει ψευσθέντες, καὶ οὓς φυλάξειν ᾤοντο, καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον, οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι. τούτῳ δὲ τῷ τρόπῳ τῶν μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων, οἱ μὲν ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν. οἱ δ' ἡμέτεροι πρόγονοι πυθόμενοι μὲν τὴν γεγενημένην λακεδαιμονίοις συμφορὰν, ἀποροῦντες δὲ τοῖς περιεστηκόσι πράγμασιν, εἰδότες δ' ὅτι εἰ μὲν κατὰ γῆς τοῖς βαρβάροις ἀπαντήσονται, ἐπιπλεύσαντες χιλίαις ναυσὶν ἔρημον τὴν πόλιν λήψονται. εἰ δὲ εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς ἁλώσονται. ἀμφότερα δὲ

[redacted] ſatius eſſe,cum uirtute & paupertate,& fuga libertatem ,quàm cum probro,atq; opulentia,patriæ ſeruitutem,quo Græciæ cō ſulerent,urbem deſeruere. Sic enim ex parte ,aduerſus utraſq; non autem aduerſus ambas unà uires,belli diſcrimen ſubeāt. Quare & filijs,& uxoribus ,& matribus ad Salaminam poſitis,congregarunt,& aliorum ſociorum claſſem. Nec multis poſt diebus,omnis Barbarorum , tum pedes , tum claſſis, aduentarat. Quod quis intuens non pertimuerit? Quàm magnum terribileq; periculum ,huic ciuitati ,pro Græcorum libertate ſuſceptum eſt.qua uero mente fuerant,uel eos intuentes qui in illis nauibus eſſent: præſertim cum & eorum ſalus in ambiguo,& periculum foret in limine ,aut qui pro neceſſitudine,próque præmijs apud Salaminios poſita fuiſſent, naualem pugnam dimicaturi eſſent. Tanta uero hoſtium multitudine circumdabantur undiq;,ut inter præſentia mala minimum ſibi foret,mortem ſuam ante ſe uidere. Maximam uero miſeriam à uictoribus Barbaris ſuperatos paſſuros credebant. Vbi propter inſtantem difficultatem ,& ſæpenumero inuicem complexati ſunt , & merito ſeſe deplorarunt. Videbant enim & naues ſuas admodum paucas ,& hoſtium claſſem permagnam eſſe. Sciebant & urbis ſolitudinem factam, & agrum prædæ datum ,Barbariſque refertum : templa exuſta,omnes in extremis poſitos calamitatibus. Audiebant in eodem Græcum Barbaricumque Pæanem commiſceri. Vtrinq; autem ingruebat,& pereuntiū clamor,& mare cadaueribus plenum,cum permulta fierent,& amicorum ,& hoſtiū naufragia,cum multum temporis mutuo inter ſe claſſes cōcertarent.

Cum

οὐ δυνατὸν, ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν. δυοῖν δὲ προκειμένοιν πότερον χρὴ τὴν πατρίδα ἐκλίπειν, ἢ μετὰ τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετὰ ἀρετῆς, καὶ πενίας, καὶ φυγῆς ἐλευθερίαν, ἢ μετ᾽ ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος. ἐξέλιπον ὑπὲρ τῆς ἑλλάδος τὴν πόλιν, ἵν᾽ ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν, ὑπεκθέμενοι παῖδας, καὶ γυναῖκας, καὶ μητέρας εἰς σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. οὐ πολλαῖς δ᾽ ὕστερον ἡμέραις, ἦλθε καὶ ἡ πεζὴ στρατιὰ, καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὅ τις οὐκ ἂν ἰδὼν, ἐφοβήθη, ὅσος μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερίας ἠγωνίσθη. ποίαν δὲ γνώμην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις, οὔσης καὶ τῆς αὑτῶν σωτηρίας ἀπίστου, καὶ τοῦ προσιόντος κινδύνου, ἢ οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῶν φιλτάτων, ὑπὲρ τῶν ἄθλων τῶν ἐν σαλαμινίοις. τοσοῦτον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων, ὥστε ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸν θάνατον τὸν αὑτῶν προιδέσθαι, μεγίστην δὲ συμφορὰν ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων, τοὺς ὑπεκτεθέντας ἤλπιζον πείσεσθαι. ἦ που διὰ τὴν ὑπάρχουσαν ἀπορίαν, πολλάκις μὲν ἠσπάσαντο ἀλλήλους, εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο, εἰδότες μὲν τὰς σφετέρας ναῦς ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων, ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ χώραν πορθουμένην, καὶ μεστὴν τῶν βαρβάρων, ἱερῶν δὲ καιομένων, ἁπάντων δ᾽ ἐγγὺς ὄντων δεινῶν. ἀκούοντες δ᾽ ἐν ταυτῷ συμμεμιγμένου ἑλληνικοῦ καὶ βαρβαρικοῦ παιᾶνος, παρακελευσμοῦ δ᾽ ἀμφοτέρων, καὶ κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων, καὶ φιλίων, καὶ πολεμίων ναυαγίων, ἀντιπάλου δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας.

Cum uiderentur quandoq; ſuperiores & ſalui facti, interdum uero & ſuperati & perditi. Vbi ob inſtantem formidinē, multa uidiſſe exiſtimabant quæ non uidebāt, ac multa audire quæ minime audierant. Quæ autem deorum ſupplicationes factæ non ſunt, aut ſacrificiorum recordationes, & filiorum commiſeratio, uxorum deſiderium, patrum matrumque lamentatio? Conſideratio autem omnis, ſi minus proſpere ſucceſſiſſet, futurorum malorum fuerat. Quis autem deorum ob periculi magnitudinem, non eorum miſertus eſſet, aut quis hominū minus collachrymaſſet, aut quis deniq; eorum audentia delectatus non eſſet? Longe profecto cæteris hominibus uirtute maiores illi noſtri, tum conſilijs, tum armis, præſtitere. Nam & urbem relinquendo, & naues inſcendendo, & ſeſe paucos aduerſus tantas Aſiæ copias morituros opponendo, naualis prælij uictoria potiti, cunctis mortalibus oſtenderūt, longe præſtitiſſe, cum paucis pro libertate tuenda dimicare, quàm cū multis ſeruitute preſſis pro patria ſeruitutem agere. Plurima uero illi facinora atq; pulcherrima pro Græciæ libertate contulerūt. Et ducem quidem Themiſtoclem illum qui oratione, & conſilio rebusq; gerendis, nemini omnium cederet, qui naues plures quàm reliqui omnes ſocij, uiros præterea experimento ſingulari duceret, tametſi aliorum Græcorum nonnulli ſeſe his & conſilio & multitudine comparandos uoluerint. Quapropter nō iniuria præmia naualis pugnæ, ab ipſa Græcia haud immerito ſuſcepere. Pulchre uero & ipſam fortunā periculis cōgruentem adepti ſunt: propriam autem atq; ingenitam uirtutem ſuam, Aſiaticis Barbaris oſtenderunt. Cum tales igitur ſe Athenienſes in bello nauali præſtitiſſent, ac periculorum lōge plurimum ipſi pertuliſſent, priuata uirtute, publicam ſunt & reliquæ Græciæ libertatem aſſecuti. Poſtero uero tempore, cū Peloponenſes muro Iſthmon cingerent, ſuaq; ſalute contenti eſſēt, putarēt aūt maritimo ſe diſcrimine liberatos, ac reliquos

Græcos

δοκοῦντες, τότε μὲν νενικηκέναι καὶ σεσῶσθαι, τοτὲ δ' ἡττᾶσθαι, καὶ ἀπολω-
λέναι. ἦπου διὰ τὸν παρόντα φόβον πολλὰ μὲν ᾠήθησαν ἰδεῖν ὧν οὐκ
εἶδον, πολλὰ δ' ἀκοῦσαι ὧν οὐκ ἤκουσαν. ποῖαι δ' οὐχ ἱκετεῖαι θεῶν
ἐγένοντο, ἢ θυσιῶν ἀναμνήσεις, ἔλεός τε παίδων καὶ γυναικῶν πόθος,
οἶκτός τε πατέρων καὶ μητέρων; λογισμὸς δ' εἰ δυστυχήσειεν τῶν μελ-
λόντων ἔσεσθαι κακῶν. τίς οὐκ ἂν θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ τοῦ μεγέθους
τοῦ κινδύνου, ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν, ἢ τῆς τόλμης αὐτοὺς οὐκ ἂν ἠγά-
σθη; ἦ πολὺ πλεῖστον ἐκεῖνοι, καὶ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διε-
νεγκαν, καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις. ἐκλι-
πόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ' ἐσβάντες, τὰς δὲ αὐτῶν ψυχὰς ὀλί-
γας οὔσας ἀντιτάξαντες τῷ πλήθει τῷ τῆς ἀσίας. ἐπέδειξαν δὲ πᾶσιν ἀν-
θρώποις νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευ-
θερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δου-
λείας. πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερί-
ας συνεβάλοντο. στρατηγὸν μὲν θεμιστοκλέα ἱκανώτατον εἰπεῖν, καὶ γνῶ-
ναι, καὶ πρᾶξαι, ναῦς δὲ πλείους τῶν ἄλλων συμμάχων, ἄνδρας δ' ἐμ-
πειροτάτους. καί τοι τίνες ἂν τούτοις τῶν ἄλλων ἑλλήνων ἤρισαν γνώ-
μῃ, καὶ πλήθει, καὶ ἀρετῇ, ὥστε δικαίως μὲν ἀναμφισβητήτως ἀρι-
στεῖα τῆς ναυμαχίας ἔλαβον, παρὰ τῆς ἑλλάδος. εἰκότως δὲ τὴν εὐτυ-
χίαν ὁμονοοῦσαν τοῖς κινδύνοις ἐκτήσαντο, γνησίαν δὲ καὶ αὐτόχθο-
να τοῖς ἐκ τῆς ἀσίας βαρβάροις τὴν αὐτῶν ἀρετὴν ἐπεδείξαντο.

Ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὐτοὺς παρασχόντες, καὶ πολὺ
πλεῖστον τῶν κινδύνων μετασχόντες τῇ ἰδίᾳ ἀρετῇ, κοινὴν τὴν ἐλευθε-
ρίαν τοῖς ἄλλοις ἐκτήσαντο. ὕστερον δὲ πελοποννησίων τειχιζόντων
τὸν ἰσθμὸν, καὶ ἀγαπώντων μὲν τῇ σωτηρίᾳ, νομιζόντων δ' ἀπηλ-
λάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους

Græcos in Barbarorum ſeruitutem deuenturos arbitrarentur, atque contemnerent, irati Athenienſes illis, conſuluere, ſi ita ſint animati, omnem potius Peloponeſum muro circundent. Nam ſi à Græcis hi proditi cum Barbaris futuri ſint, neque illis mille nauibus opus erit, neque his proderit Iſthmi murus: quippe quod maris principatum rex ſit uel ſine diſcrimine habiturus. Edocti uero Lacedæmonij putanteſque nec iuſte facere, nec recte conſulere, Athenienſes autem, & iure facere, & eos monere quàm optime, ad Platæas auxilium tulere. Noctu uero, cum ſociorum plurimi, ob hoſtium multitudinem, ſe ex ordinibus ſubduxiſſent, Lacedæmonij quidem & Tegeatæ in fugam Barbaros uertere. Athenienſes autem atque Platæenſes, Græcos omnes qui de libertate deſperarent, ſeruituteḿque paterentur, pugnando uicere. Illo itaque die pulcherrimum exitum ſuperioribus periculis apponentes, firmam quidem Europæ libertatem præſtiterunt, & omnibus in periculis declarantes uirtutem ſuam, & ſoli & ſociati, & pedeſtri naualiq; certamine, & in Barbaros & in Græcos, ab omnibus digni habiti ſunt, tum à ſocijs, tum ab hoſtibus qui Græciæ præeſſent. Poſtea uero tempeſtate Græcanico bello ob præteritarum æmulationem, geſtaruḿque rerum inuidiā, & ipſo conſtituto, cum magni ſe omnes facerent, ac parua ſinguli crimina deprecarentur, Athenienſibus aduerſus Aeginetas & eorum ſocios prælio nauali belligerantibus, ſeptuaginta eorum cepere naueis. Eodem uero tempore cum Athenienſes Aegyptum, Aeginaḿque bello premerent, iuuentuſque nauibus ac terreſtri expeditione abeſſet, Corinthij, Corinthioruḿque ſocij rati, aut huic urbi ſolitudinem inducere, aut ex Aegina exercitum educere, egreſſi ad unum omnes Geraniam Megaridis montem occuparunt,

Athenienſes

ἕλληνας περιιδεῖν, ὑπὸ τοῖς βαρβάροις γενομένους, ὀργισθέντες ἀθηναῖοι, συνεβούλευον αὐτοῖς εἰ ταύτην τὴν γνώμην ἕξουσιν περὶ ἁπάντων, τὴν πελοπόννησον τεῖχος περιβαλεῖν. εἰ γὰρ αὐτοὶ ὑπὸ ἑλλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων ἔσονται, οὔτε ἐκείνοις δεήσειν χιλίων νεῶν, οὔτε τούτους ὠφελήσειν τὸ ἐν ἰσθμῷ τεῖχος. ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάσσης ἀρχὴν τοῦ βασιλέως. διδασκόμενοι δὲ καὶ νομίζοντες αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, ἀθηναίους δὲ δίκαιά τε λέγειν, καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς πλαταιάς, ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων διὰ τὸ πλῆθος τῶν πολεμίων. λακεδαιμόνιοι μὲν καὶ τεγεᾶται, τοὺς βαρβάρους ἐτρέψαντο, ἀθηναῖοι δὲ καὶ πλαταιεῖς πάντας τοὺς ἕλληνας ἐνίκων μαχόμενοι, τοὺς ἀπογνόντας τῆς ἐλευθερίας, καὶ ὑπομείναντας τὴν δουλείαν. ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τελευτὴν τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ εὐρώπῃ κατειργάσαντο, ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι, καὶ μεθ' ἑτέρων, καὶ πεζομαχοῦντες, καὶ ναυμαχοῦντες, καὶ πρὸς βαρβάρους, καὶ πρὸς τοὺς ἕλληνας, ὑπὸ πάντων ἠξιώθησαν, καὶ μεθ' ὧν ἐκινδύνευον, καὶ πρὸς οὓς ἐπολέμουν ἡγεμόνες γενέσθαι τῆς ἑλλάδος. ὑστέρῳ δὲ χρόνῳ ἑλληνικοῦ πολέμου καταστάντος, διὰ ζῆλον τῶν γεγενημένων καὶ φθόνον τῶν πεπραγμένων, μέγα μὲν ἅπαντες φρονοῦντες, μικρῶν δ' ἐγκλημάτων ἕκαστοι δεόμενοι, ναυμαχίας ἀθηναίοις, πρὸς αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης, ἑβδομήκοντα τριήρεις αὐτῶν ἐλάμβανον. πολιορκούντων δὲ κατὰ τὸν αὐτὸν χρόνον, αἴγυπτόν τε καὶ αἴγιναν, καὶ τῆς ἡλικίας ἀπούσης, ἔν τε ταῖς ναυσί, καὶ ἐν τῷ πεζῷ στρατεύματι, κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι ἡγούμενοι ἢ εἰς ἔρημα τὴν χώραν ἐμβαλεῖν, ἢ ἐξ αἰγίνης ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πανδημεὶ γεράνειαν κατέλαβον.

ἀθηναῖοι δὲ

Athenienſes autem,neq; abſentes,neq; prope exiſtentes ,ulla ex parte ad ſe aduocare uoluere,ſed ſuis animis fiſi ,& inuadẽtes hoſtes aſpernati,ſeniores cum ea quæ domi eſſent pube,ſoli pugnam inire maluerunt.Hi quidem experimento ,adoleſcentes uero ingenio,uirtutem nacti.Quare cũ ſeniores pluribus in locis probe,ac fortiter rem geſſiſſent,hi uero illos imitarentur:illis quidem nauiter imperantibus ,his autem dicto obtemperantibus ,Myronida duce ad Megaricam obuiam facti,omnium illorum uires pugnando ſuperarunt. Itaq; maiores noſtri manu partim defecta uiribus,partim nec dum ſatis roboris habente,in eos etiam qui ſuum in ſolum impetum facere putauiſſent,in alienum occurrẽtes,trophæum pulcherrimi quidem ſibi,turpiſſimi uero hoſtibus facinoris ſtatuere. Qui quidem alteri expertes iam uirium ,alteri nondum ualidi,utrique autem corporum imbecillitatem animorum præſtantia ſuperantes,pulcherrima inſignes gloria,in urbem redierunt.Et hi quidẽ rurſus diſciplina exornabantur,illi uero de reliquis negocijs conſultabant. Quæ igitur à multis ſunt perpetrata,ſingula quæq; ab uno enarrari ,& quæ in omne tẽpus geſta ſint die uno exponi difficile certe plurimum. Quod enim tempus,quæ oratio ,qui rhetores ,horũ qui hoc loci fortiſſimi uiri poſiti ſunt,præſtãtiam in mediũ afferre ſatis queat? Hi namq; plurimis laboribus ,manifeſtiſſimis certaminibus, pulcherrimiſque periculis libertate Græciam donauere ,ſuamque patriam maximam reddidere.Nam etiam annos ſeptuaginta maris imperium tenuerunt: quietos ac pacatos ſocios præſtiterunt. Neque paucos pluribus dominari dignum exiſtimarunt ,ſed ut æque omnes inter ſe uiuerent coegere, neque imbecilles ſocios effecere; quin & illos robore firmauerunt. Eas autem ſuas uires demonſtrarunt ,ut & magnus ipſe rex , ne non ſolum aliena amplius non appeteret,ſed & de ſuis etiam daret,atq; in poſterum pertimeſceret:

ἀθηναῖοι δὲ τῶν μὲν ἀπόντων, τῶν δ᾽ ἐγγὺς ὄντων, οὐδένα ἐτόλμησαν μεταπέμψασθαι, ταῖς δὲ αὐτῶν ψυχαῖς πιστεύσαντες, καὶ τῶν ἐπιόντων καταφρονήσαντες, οἱ γεραίτεροι, καὶ οἱ τῆς ἡλικίας ἐντὸς γεγονότες, ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι. οἱ μὲν ἐμπειρίᾳ τὴν ἀρετὴν, οἱ δὲ φύσει κεκτημένοι, καὶ οἱ μὲν, αὐτοὶ πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δὲ, ἐκείνους μιμούμενοι. τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεωτέρων τὸ προσταττόμενον ποιεῖν δυναμένων, μυρωνίδου στρατηγοῦντος ἀπαντήσαντες αὐτοὶ εἰς τὴν μεγαρικὴν, ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων. τοῖς ἤδη ἀπειρηκόσι, καὶ τοῖς οὔπω δυναμένοις τοὺς εἰς τὴν σφετέραν ἐμβαλεῖν ἀξιώσαντας εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες, τρόπαιον δὲ στήσαντες κάλλιστον μὲν αὑτῶν ἔργου, αἴσχιστον δὲ τοῖς πολεμίοις. οἱ μὲν οὐκ ἔτι τοῖς σώμασιν. οἱ δὲ οὔπω δυνάμενοι, ταῖς δὲ ψυχαῖς ἀμφότεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν αὑτῶν ἀπελθόντες, οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ τῶν λοιπῶν ἐβουλεύοντο. καθ᾽ ἕκαστον μὲν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα, ὑφ᾽ ἑνὸς ἐξηγηθῆναι. οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα, ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. τίς γὰρ ἂν ἢ λόγος, ἢ χρόνος, ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; μετὰ πλείστων γὰρ πόνων, καὶ φανερωτάτων ἀγώνων, καὶ καλλίστων κινδύνων, ἐλευθέραν μὲν ἐποίησαν τὴν ἑλλάδα, μεγίστην δ᾽ ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα. ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρασχόντες τοὺς συμμάχους. οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες, οὐ δὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες, καὶ τὴν αὐτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥστε ὁ μέγας βασιλεὺς, οὐκ ἔτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ᾽ ἐδίδου τῶν ἑαυτοῦ, καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο.

necꝫ triremes,id temporis ex Aſia ſoluerent. Neque tyrannus inter Græcos emerſit, necꝫ Græca urbs aliqua à Barbaris in captiuitatem acta eſt: tantam ſui & obſeruantiam, & metum horum diuina uirtus cunctis hominibus præbuit. Quapropter hi certe ſunt quos ſolos tum Græcorum duces eſſe, tum urbium principes conuenit. Non autem in ſecundis rebus ſolū, uerum & in diuerſis maiores noſtri ſuam probitatem oſtendere. Nam cum in Helleſponto naues periiſſent, ſiue ducis id uitio, ſiue deorum uoluntate acciderit, cumꝗ calamitate nō ipſi nos modo, uerum & reliqui omnes Græci miſere perculſi eſſent, declararunt non multo poſt temporis curriculo, huius reipublicæ uires, ſalutem Græciæ extitiſſe. Nam cum imperiū apud Alos foret, qui Barbari antea in mare egreſſi eſſent, hi Græcos nauali pugna ſuperarunt, in Europamꝗ nauigarunt. Seruiunt Græcorum urbes, inſurgunt tyranni, partim poſt noſtram calamitatem, partim poſt Barbarorum uictoriam. Quam ob rem, cum par Græciæ fuerat ſuper hoc funere, & deplorare, & lugere hoſce qui hic ſepulti iacent, nimirū quod eorum libertas cum horū uirtute ſepulta ſit. O infelicem Græciam, quæ talibus uiris orbata fuerit: fortunatum uero Aſiæ regem, qui aliis aduerſus ſe ducibus uſus ſit. Nam his orbatam ſeruitus Græciam circumſepſit, & aliis certe imperatoribus maiorum noſtrorum, conſilii deſiderium magis magiſque indies, & renouatur & creſcit. Verum hoc pro omni Græcia deplorare perpulſus ſum. Illorum autem uirorum dignum fuerat & priuatim & publicæ meminiſſe, qui ſeruitutem fugientes, & pro iure pugnantes, próque damnatu populari inſurgentes, cunctis ſibi hoſtibus factis, in Piræum deſcendere. Neque id quidem coacti legibus, ſed natura inducti publicis periculis ueterem progenitorum uirtutem imitati communem & reliquis hanc urbem uendicarunt. Mortis cū libertate magis quàm uitæ cum ſeruitute opinionem habuere

non minus

καὶ οὔτε ξέρξης ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς ἀσίας ἔπλευσεν, οὔτε τύ-
ραννος ἐν τοῖς ἕλλησι κατέστη, οὔτε ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων
ἠνδραποδίσθη. τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀν-
θρώποις παρεῖχεν, ὧν ἕνεκα δεῖ μόνους, καὶ προστάτας τῶν ἑλλήνων, καὶ ἡ-
γεμόνας πόλεων γίγνεσθαι. ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυστυχίαις τὴν ἑαυ-
τῶν ἀρετήν. ἀπολλυμένων γὰρ τῶν νεῶν ἐν ἑλλησπόντῳ, εἴτε ἡγεμόνοις
κακίᾳ, εἴτε θεῶν διανοίᾳ, καὶ συμφορᾶς ἐκείνης μεγίστης γενομένης, καὶ
ἡμῖν τοῖς δυστυχήσασι, καὶ τοῖς ἄλλοις ἕλλησιν ἐδήλωσεν, οὐ πολλῷ χρό-
νῳ ὕστερον, ὅτι ἡ τῆς πόλεως δύναμις τῆς ἑλλάδος ἦν σωτηρία. ἑτέρων γὰρ
ἡγεμόνων γενομένων, ἐνίκησαν μὲν ναυμαχοῦντες τοὺς ἕλληνας, οἱ πρότε-
ρον εἰς τὴν θάλασσαν οὐκ ἐμβαίνοντες, ἔπλευσαν δ' εἰς τὴν εὐρώπην.
δουλεύουσι δὲ πόλεις τῶν ἑλλήνων, τύραννοι δ' ἐγκαθιστᾶσιν. οἱ μὲν μετὰ
τῶν ἡμετέραν συμφοράν, οἱ δὲ, μετὰ τὴν νίκην τῶν βαρβάρων, ὥς τε ἄ-
ξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ ἑλλάδι, καὶ πενθῆσαι τοὺς
ἐνθάδε κειμένους, ὡς συγκαταθαπτομένης τῆς αὐτῶν ἐλευθερίας τῇ τού-
των ἀρετῇ, ὡς δυστυχὴς μὲν ἡ ἑλλάς, τοσούτων ἀνδρῶν ὀρφανὴ γενομένη,
εὐτυχὴς δ' ὁ τῆς ἀσίας βασιλεύς, ἑτέρων ἡγεμόνων λαβόμενος. τῇ μὲν γὰρ, τού-
των στερηθείσῃ δουλεία περιέστηκε, τῷ δ' ἄλλων ἀρξάντων, ζῆλος ἐγγίνεται
τῆς τῶν προγόνων διανοίας, ἀλλὰ ταῦτα μὲν   ὑπὲρ πάσης
ὀλοφύρασθαι τῆς ἑλλάδος, ἐκείνων δὲ τῶν ἀνδρῶν ἄξιον καὶ ἰδίᾳ, καὶ δημο-
σίᾳ μεμνῆσθαι. οἱ φεύγοντες τὴν δουλείαν, καὶ περὶ τοῦ δικαίου μαχόμε-
νοι, καὶ ὑπὲρ τῆς δημοκρατίας στασιάσαντες, πάντας πολεμίους κεκτη-
μένοι, εἰς τὸν πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς
φύσεως πεισθέντες, καινοῖς κινδύνοις τὴν παλαιὰν ἀρετὴν τῶν προγό-
νων μιμησάμενοι, ταῖς αὐτῶν ψυχαῖς κοινὴν τὴν πόλιν, καὶ τοῖς ἄλλοις
κτησάμενοι θάνατον μετ' ἐλευθερίας αἱρούμενοι, ἢ βίον μετὰ δουλείας.

non minus pudoris ſuſceperunt ex cladibus, quàm inimicis ſuccenſuere: inter ſuos mori quàm aliena incolentes uiuere maluerunt. Sicq; iuſiurandum atq; fœdera pro ſocijs habentes, hoſtes autem nacti eos qui itidem antea extitiſſent ac ciues ſuos, nullo tamen terrore ex aduerſa multitudine partiti, quin ſuis corporibus diſcrimen adorſi, trophæum de hoſtibus poſuerunt, ſuæ autem uirtutis maiores noſtri teſtimonium præbent Lacedæmoniorum quæ huius monumenti in proximo ſunt ſepulchra. Enim uero magnam potentemq; pro parua & imbecilla, urbem reddiderunt, concordem ex ſeditioſa oſtenderunt: muros pro ruinis erexerunt. Ipſorum autem nepotes conſilia horum, qui hoc loci conditi ſunt, rebus ſimilia oſtendentes, non in hoſtium ſupplicia, ſed in reipublicæ ſalutem cõuerſi ſunt. Qui cum neq; detrimento affici poſſent, & ſuo ipſi contenti eſſent, ſuæ quidem libertatis eos qui ſeruire uellent participes fecere, illorum uero ipſi ſeruitutis ſe participes fieri, haud dignum arbitrati ſunt. Maximis autem præclariſq; facinoribus demonſtrarunt, neq; ſuo uitio, neq; hoſtium uirtute, urbem antea cladem pertuliſſe. Nam ſi inter ſe ui diſſidentes præſentibus Peloponenſibus alijſq; hoſtibus eorum agrũ inuadere potuerunt, perſpicuum profecto eſt, ut facile his cõcordes repugnaſſent. Illos itaque ob Piræi diſcrimina omnes homines admirantur. Dignum eſt autem, ut & peregrinos hic poſitos laudibus proſequamur, qui ſua multitudine auxilium afferentes, próque ſalute noſtra fortiter dimicantes & patriæ loco uirtutem rati, talem uiuendi exitum præſtitere. Horum autem rerum gratia, eos ciuitas, & luctu, & publica ſepultura proſecuta eſt. Et his honoribus in omne tempus ornari uoluit, quibus & ciues ipſi ornarentur.

Hi uero quorum nunc funus agitur, in Corinthiorum auxilium, qui à ueteribus amicis iniuria premerentur,

publici

οὐχ ἧττον ταῖς συμφοραῖς ἀχθόμενοι, ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι, μᾶλλον βουληθέντες ἐν τῇ αὐτῶν ἀποθνήσκειν, ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες. συμμάχους μὲν ὅρκους, καὶ συνθήκας ἔχοντες, πολεμίους δὲ τούς τε πρότερον ὑπάρχοντας καὶ τοὺς πολίτας τοὺς ἑαυτῶν. ἀλλ' ὅμως οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες, ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν, μάρτυρας δὲ τῆς αὐτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνήματος τοὺς λακεδαιμονίων τάφους παρέχονται. καὶ γάρ τοι μεγάλην μὲν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν, τείχη δὲ ἀντὶ τῶν καθῃρημένων ἀνέστησαν. οἱ δὲ κατελθόντες αὐτῶν ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐνδεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως ἐτράποντο, καὶ οὔτε ἐλαττοῦσθαι δυνάμενοι, οὔτ' αὐτοὶ πλέον ἔχειν δεόμενοι, τῆς μὲν αὐτῶν ἐλευθερίας, καὶ τοῖς βουλομένοις δουλεύειν μετέδωκαν, τῆς δ' ἐκείνων δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν, ἔργοις δὲ μεγίστοις καὶ καλλίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὐτῶν, οὐδ' ἀρετῇ τῶν πολεμίων, πρότερον ἐδυστύχησεν ἡ πόλις. εἰ γὰρ στασιάζοντες πρὸς ἀλλήλους βίᾳ παρόντων πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν εἰς τὴν αὐτῶν οἷοί τε ἐγίνοντο κατελθεῖν, δῆλον ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πολεμεῖν αὐτοῖς ἐδύναντο. ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται. ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ τῷ πλήθει βοηθήσαντες καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο. ἀνθ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε, καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς. οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες κορινθίοις ὑπὸ παλαιῶν φίλων ἀδικουμένοις,

publici ſocij,non eam,qua Lacedæmonij fuerant,mentem præ ſe tulere.Illi & enim bonis illorum inuidebãt: hi uero eorum quoniã iniuſte paterentur miſerebãtur. Neq; hi quidem priorum inimicitiarum memores,ſed præſentem amicitiã plurimi pendentes,uirtutem ſuam cunctis mortalibus oſtenderunt. Auſi enim ſunt,quo Græciæ magnitudini conſulerent,non ſolum pro ſua ſalute dimicare, quinimo,& pro hoſtium libertate interire.Nam Lacedæmoniorum ſocijs adiuncti,pro illorum libertate decertarunt.Illos etenim ſi uiciſſent,paribus ſecum muneribus dignabantur.Sin autem uicti eſſent,ſeruitutem Peloponenſibus certe relinquebãt.Illis igitur ita affectis, miſerabilis quidem uita, mors autem fuerat admodum exoptanda.Hi uero,& uiui,& mortui admiratione digni ſunt, quippe qui & in maiorum ſuorum probitatem eruditi,& ubi uirilem in ætatem euaſiſſent,& eorũ tum gloriam attigiſſent, tum ſuam ipſi uirtutem declaraſſent,plurimarũ pulcherrimarumq; rerum autores patriæ extiterunt. Et quæ aliorum erratis calamitates accidiſſent,ſua uirtute emendarunt,& procul à patrio ſolo bellum auerterunt. Eam autem mortem obiere, quæ probis uiris ac fortibus digna iudicetur. Alimenta enim patriæ perſoluere,parentibus uero mœrore luctumq; reliquerunt.Quas ob res,haud iniuria ſuperſtites & hoſce lugeant, & ſe deplorent,& ſuorum in omnem uitam miſereantur. Quid enim hi uoluptatis iam reliquum habent talibus orbati uiris,qui omnia uirtute minora ducentes, ſe luce priuaueſe, uxores uiduas effecere, parentibus optatos filios relinquere, fratribus patribus ac matribus ſolitudinem intulere? Sed in tanta malorum multitudine, acerbitateque,iſtorum quidem filios beatos exiſtimo, qui iuniores ſunt,quàm ut noſſe per ætatem liceat, quibus parentibus ſunt orbati. Eorum autem è quibus illi ſunt geniti,miſeret me plurimum, quod ſeniores ſint, quàm ut ſuæ calamitatis obliuiſci poſſint.

κοινοὶ σύμμαχοι γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔχοντες. οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικουμένους αὐτοὺς ἠλέουν, οὐ τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παρόντων φιλίαν περὶ πλείστου ποιούμενοι πᾶσιν ἀνθρώποις, φανερὰν τὴν αὐτῶν ἀρετὴν ἐπιδείξαντες. ἐτόλμησαν γὰρ μεγάλην ποιοῦντες τὴν Ἑλλάδα, οὐ μόνον περὶ τῆς αὐτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας ἀποθνήσκειν. τοῖς γὰρ Λακεδαιμονίων συμμάχοις, περὶ τῆς ἐκείνων ἐλευθερίας ἐμάχοντο. νικήσαντες μὲν γὰρ ἐκείνους τῶν αὐτῶν ἠξίουν, δυστυχήσαντες δὲ βέβαιον τὴν δουλείαν τοῖς ἐν τῇ Πελοποννήσῳ κατέλιπον. ἐκείνοις μὲν οὖν οὕτω διακειμένοις, ὁ βίος οἰκτρὸς, καὶ ὁ θάνατος εὐκταῖος, οὗτοι δὲ καὶ ζῶντες καὶ ἀποθανόντες ζηλωτοί. παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι, τήν τε ἐκείνων δόξαν διασώσαντες, καὶ τὴν αὐτῶν ἀρετὴν ἐπιδείξαντες, πολλῶν μὲν γὰρ καὶ καλῶν, αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι. ἐπηνώρθωσαν δὲ, τὰ ὑφ' ἑτέρων δυστυχηθέντα, πόῤῥω δὲ ἀπὸ τῆς αὐτῶν τὸν πόλεμον κατέστησαν. ἐτελεύτησαν δὲ τὸν βίον, ὥσπερ χρὴ τοὺς ἀγαθοὺς ἀποθνήσκειν. τῇ μὲν γὰρ πατρίδι τὰ τροφεῖα ἀποδόντες, τοῖς δὲ θρέψασι λύπας καταλιπόντες. ὥς τε ἄξιον τοῖς ζῶσι τούτους ποθεῖν, καὶ σφᾶς αὐτοὺς ὀλοφύρεσθαι, καὶ τοὺς προσήκοντας αὐτῶν ἐλεεῖν τοῦ ὑπολοίπου βίου. τίς γὰρ αὐτοῖς ἔτι ἡδονὴ καταλείπεται, τοιούτων ἀνδρῶν θαπτομένων, οἳ πάντα περὶ ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι, αὐτοὺς μὲν ἀπεστέρησαν βίου, χήρας δὲ γυναῖκας ἐποίησαν, ὀρφανοὺς δὲ τοὺς παῖδας ἀπέλιπον, ἐρήμους δ' ἀδελφοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν; πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων, τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ ὅτι νεώτεροί εἰσι, ἢ ὥς τε εἰδέναι οἵων πατέρων ἐστέρηνται. ὧν δ' οὗτοι γεγόνασιν οἰκτείρω, ὅτι πρεσβύτατοι ἢ ὥς τε ἐπιλαθέσθαι τῆς δυστυχίας τῆς ἑαυτῶν

Quid enim aut luctuoſius aut triſtius quã filios parere, educare, ſepelire? In ſenectute uero corpore quidem imbecillos, & omni deſolatos ſpe, ſine amicis, ſine opibus degere: & quibus ante admirationi haberentur commiſerationi nunc eſſe: mortis deniq; deſiderium uitæ acerbitati anteponere. Nam quo hi uiri meliores fuerant, eo ſuperſtitibus grauiorem luctum reliquerunt. Quo autem pacto hi luctu ac mœrore uacent, in ciuitatis ne cladibus? At opus tunc eſt ut eorum alij quoq; meminerint. An in publicis fortunæ bonis? At hoc ipſo uehementius dolendum eſt, quod & natos ſuos diem obijſſe, & ſuperſtites uirtutis illorum præmijs frui uideant, intueanturq; ſuis in periculis eos quibus antea familiariſſime uterentur, ſuam fugere orbitatem: in inimicos autem in horum miſerijs longe exultare. Hanc ſolã, mea ſententia, his qui hic conditi ſunt gratiam retulerimus, ſi quidem ipſorum parentes æque atq; illi conſueuerant, plurimi fecerimus, filios uero non ſecus ac ipſi patres dilexerimus: uxoribus autem tales nos ipſos auditores præbuerimus, quales illi cum luce fruerentur extiterant. Quos enim ex his, quos hic ſepultos intuemur, cumulatiore honore recte proſequamur: quos autem ex ſuperſtitibus iuſtius permulti faciamus, quàm horum neceſſarios, quibus horum uirtute iuxta, atq; alijs frui licuit? Ex morte autem ſoli miſeriæ ſunt planè participes. Verũ tamen, haud ſcio quid luctu eiulationeq; opus ſit. Non enim ignoramus nos ipſos mortales eſſe. Quam ob rem quid oportet quæ futura expectemus, his angi hoc tempore, aut uſqueadeo ferre grauiter naturæ calamitates: præſertim cum nec nos lateat, & malis mortem, & bonis communem eſſe. Nam neque ignauos deſpicit, neq; ꝓbos ſuſpicit, ſed parẽ ſe cũctis præſtat.

Nam ſi

τί γὰρ ἂν τούτων ἀνιαρότερον γένοιτο, ἢ τεκεῖν μὲν καὶ θρέψαι, καὶ θάψαι τοὺς αὑτῶν, ἐν δὲ τῷ γήρᾳ, ἀδυνάτους μὲν εἶναι τῷ σώματι, πασῶν δ' ἀπεστερημένους τῶν ἐλπίδων ἀφίλους καὶ ἀπόρους γεγονέναι, ὑπὸ δὲ τῶν αὐτῶν πρότερον ζηλοῦσθαι, καὶ νῦν ἐλεεῖσθαι; ποθεινότερον δ' αὐτοῖς εἶναι τὸν θάνατον τοῦ βίου. ὅσῳ γὰρ ἄνδρες ἀμείνους ἦσαν, τοσούτῳ τοῖς καταλειπομένοις τὸ πένθος μεῖζον. πηνίκα δ' αὐτοὺς χρὴ λῆξαι τῆς λύπης, πότερον ἐν ταῖς τῆς πόλεως συμφοραῖς, ἀλλὰ τότε αὐτῶν εἰκὸς καὶ τοὺς ἄλλους μεμνῆσθαι, ἀλλ' ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς, ἀλλ' ἱκανὸν λυπῆσαι. τῶν μὲν σφετέρων τέκνων τετελευτηκότων, τῶν δὲ ζώντων ἀπολαυόντων τῆς τούτων ἀρετῆς, ἀλλ' ἐν τοῖς ἰδίοις κινδύνοις, ὅταν ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους, φεύγοντας τὴν αὐτῶν ἀπορίαν, τοὺς δ' ἐχθροὺς μέγα φρονοῦντας ἐπὶ ταῖς δυστυχίαις ταῖς τούτων. μόνοι δ' ἄν μοι δοκοῦμεν ταύτην τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι χάριν, εἰ τοὺς μὲν τοκέας αὐτῶν ὁμοίως ὥσπερ ἐκεῖνοι περὶ πολλοῦ ποιούμεθα, τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα ὥσπερ αὐτοὶ πατέρες ὄντες, ταῖς δὲ γυναιξὶν, εἰ τοιούτους βοηθοὺς ἡμᾶς αὐτοὺς παρέχοιμεν, οἷοί περ ἐκεῖνοι ζῶντες ἦσαν. τίνας γὰρ ἂν εἰκότως μᾶλλον τιμῷμεν τῶν ἐνθάδε κειμένων, τίνας δ' ἂν τῶν ζώντων δικαιότερον περὶ πολλοῦ ποιοίμεθα, ἢ τοὺς τούτοις προσήκοντας; οἳ τῶν μὲν τούτων ἀρετῆς, τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν, ἀποθανόντων δὲ μόνοι γνησίως τῶν δυστυχίας μετέχουσιν.

Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅτι δεῖ ταῦτα ὀλοφύρεσθαι. οὐ γὰρ ἐλανθάνομεν ἡμᾶς αὐτοὺς ὄντας θνητοί. ὥστε τί δεῖ ἃ πάλαι προσεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι, ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως συμφοραῖς; ἐπιστάμενοι ὅτι ὁ θάνατος κοινὸς, καὶ τοῖς χειρίστοις, καὶ τοῖς βελτίστοις. οὔτε γὰρ τοὺς πονηροὺς ὑπερ

Nam ſi quidem fieri potuiſſet, ut hi qui belli diſcrimina effugiſſent, reliquum tempus æterni forent, dignũ profecto eſſet, ut uiui interemptos in omnem uitam lugerẽt: nunc autem, & natura ipſa, tum morbis, tum ſenectuti obnoxia eſt. Et genius qui noſtrum fatum ſortitus eſt euitari nullo quidẽ pacto poteſt. Decet igitur quàm feliciſſimos hoſce arbitremur, qui proximis pulcherrimisq; facinoribus dimicantes, itaq; diẽ obeuntes, neq; de ſe fortunæ decernendum permiſere, neq; maturam mortem expectarunt: quin præclaram potius elegerũt. Et eñ ipſorum memoriam nulla unquam delebit obliuio. Honores autem huiuſmodi ſunt, ut apud omnes homines ſint ꝙ cõmẽdatiſſimi, mortales autem celebrabuntur, perinde atq; uirtute immortales. Nam & publice humari meruere. Et in ipſorũ laudes uirium ſapientiæ opumq; certamina cõſtituta ſunt. Quaſi hi qui in bello perierint, iiſdem ſint honoribus honeſtãdi, quibus immortales deos proſequimur. Ego itaq; iſtos beatos eſſe duco quod huiuſmodi letum obiere, & admiror admodũ uehementer, hisq; mortalium ſolis optime conſultum cẽſeo, qui cum eſſent mortales corporibus, immortalẽ uirtute memoriã reliquere. Veruntamen priſcos ritus ſeruemus, ac pro patrijs legibus ſepultos deploremus neceſſe eſt.

LYSIAE ORATIONIS FVNEBRIS FINIS.

ORDO AVTORVM ET DECLAMATIONVM ſeu orationum huius libri.

Libanij declamationes III.
Iſocratis orationes II.
Luciani declamationes II.
Lyſiæ orationes II.

APVD INCLYTAM BASILEAM IN OFficina Io. Frobenij Cal. Maij. AN. M. D. XXII.

ΛΥΣΙΟΥ ΕΠΙΤΑΦΙΟΣ ΛΟΓΟΣ.

εἰ μὲν οἷόν τε ἦν τοῖς τοὺς ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι τὸν λοιπὸν χρόνον, ἄξιον τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας. νῦν δὲ ἥ τε φύσις καὶ νόσων ἥττων καὶ γήρως, ὅ τε δαίμων ὁ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος. ὥστε προσήκει τούτους εὐδαιμονεστάτους ἡγεῖσθαι, οἵτινες ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες, οὕτως τὸν βίον ἐτελεύτησαν, οὐκ ἐπιτρέψαντες περὶ αὑτῶν τῇ τύχῃ, οὐδὲ ἀναμείναντες τὸν αὐτόματον θάνατον, ἀλλ᾽ ἐκλεξάμενοι τὸν κάλλιστον. καί τι γὰρ ἀγήρατοι μὲν, αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ ὑπὸ πάντων ἀνθρώπων αἱ τιμαί. οἱ πενθοῦνται μὲν διὰ τὴν φύσιν ὡς θνητοί, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν. καὶ γάρ τοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶνες τίθενται ἐπ᾽ αὐτοῖς, ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ μόνοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι, οἵτινες ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὑτῶν κατάλιπον. ὅμως δὲ ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πάτριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.

ΛΥΣΙΟΥ ΤΟΥ ῬΗΤΟΡΟΣ ΠΕΡΙ ΤΩΝ ΚΟΡΙΝΘΙΟΙΣ ΒΟΗΘΩΝ ΕΠΙΤΑΦΙΟΥ ΤΕΛΟΣ.

ΕΝ ΤΗ ΕΠΙΣΗΜΟΤΑΤΗ ΤΩΝ ΡΑΥΡΑΚΩΝ ΒΑΣΙΛΕΙΑ, ΠΑΡΑ ΙΩΑΝΝΗ ΤΩ ΦΡΩΒΕΝΙΩ ΤΩ ΤΥΠΟΓΡΑΦΩ

